Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: hps-bm

*Μένανδρος ὁ Ἀθηναῖος* · Menander of Athens

# Dyscolus

*Δύσκολος*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

(ΠΑΝ) τῆς Ἀττικῆς νομίζετ’ εἶναι τὸν τόπον,
Φυλήν, τὸ νυμφαῖον δ’ ὅθεν προέρχομαι
Φυλασίων καὶ τῶν δυναμένων τὰς πέτρας
ἐνθάδε γεωργεῖν, ἱερὸν ἐπιφανὲς πάνυ.
τὸν ἀγρὸν δὲ τὸν ἐπὶ δεξί’ οἰκεῖ τουτονὶ
Κνήμων, ἀπάνθρωπός τις ἄνθρωπος σφόδρα
καὶ δύσκολος πρὸς ἅπαντας, οὐ χαίρων τ’ ὄχλωι—
“ὄχλωι” λέγω; ζῶν οὗτος ἐπιεικῶς χρόνον
πολὺν λελάληκεν ἡδέως ἐν τῶι βίωι
οὐδεν 〈ί〉 , προσηγόρευκε πρότερος δ’ οὐδένα,
πλὴν ἐξ ἀνάγκης γειτνιῶν παριών τ’ ἐμὲ
τὸν Πᾶνα· καὶ τοῦτ’ εὐθὺς αὐτῶι μεταμέλει,
εὖ οἶδ’. ὅμως οὖν, τῶι τρόπωι τοιοῦτος ὤν,
χήραν γυναῖκ’ ἔγημε, τετελευτηκότος
αὐτῆι νεωστὶ τοῦ λαβόντος τὸ πρότερον
ὑοῦ τε καταλελειμμένου μικροῦ τότε.
ταύτηι ζυγομαχῶν οὐ μόνον τὰς ἡμέρας
ἐπιλαμβάνων δὲ καὶ τὸ πολὺ νυκτὸς μέρος
ἔζη κακῶς. θυγάτριον αὐτῶι γίνεται·
ἔτι μᾶλλον. ὡς δ’ ἦν τὸ κακὸν οἷον οὐθὲν ἂν
ἕτερον γένοιθ’, ὁ βίος τ’ ἐπίπονος καὶ πικρός,
ἀπῆλθε πρὸς τὸν ὑὸν ἡ γυνὴ πάλιν
τὸν πρότερον αὐτῆι γενόμενον. χωρίδιον
τούτωι δ’ ὑπάρχον ἦν τι μικρὸν ἐνθαδὶ
ἐν γειτόνων, οὗ διατρέφει νυνὶ κακῶς τὴν μητέρ’, αὑτόν, πιστὸν οἰκέτην θ’ ἕνα

πατρῷον. ἤδη δ’ ἐστὶ μειρακύλλιον
ὁ παῖς ὑπὲρ τὴν ἡλικίαν τὸν νοῦν ἔχων·
προάγει γὰρ ἡ τῶν πραγμάτων ἐμπειρία.
ὁ γέρων δ’ ἔχων τὴν θυγατέρ’ αὐτὸς ζῆι μόνος
καὶ γραῦν θεράπαιναν, ξυλοφορῶν σκάπτων τ’, ἀεὶ
πονῶν, ἀπὸ τούτων ἀρξάμενος τῶν γειτόνων
καὶ τῆς γυναικὸς μέχρι Χολαργέων κάτω
μισῶν ἐφεξῆς πάντας. ἡ δὲ παρθένος
γέγονεν ὁμοία τῆι τροφῆι τις, οὐδὲ ἓν
εἰδυῖα φλαῦρον. τὰς δὲ συντρόφους ἐμοὶ
Νύμφας κολακεύους’ ἐπιμελῶς τιμῶσά τε
πέπεικεν αὐτῆς ἐπιμέλειαν σχεῖν τινα
ἡμᾶς· νεανίσκον τε καὶ μάλ’ εὐπόρου
πατρὸς γεωργοῦντος ταλάντων κτήματα
ἐνταῦθα πολλῶν, ἀστικὸν τῆι διατριβῆι,
ἥκο]ντ’ ἐπὶ θήραν μετὰ κυνηγέτου τινὸς
[ ]υ κατὰ τύχην παραβαλόντ’ εἰς τὸν τόπον
[ ]. ἔχειν πως ἐνθεαστικῶς ποῶ.
ταῦτ’ ἐστὶ τὰ κεφάλαια, τὰ καθ’ ἕκαστα δὲ
ὄψεσθ]’ ἐὰν βούλησθε—βουλήθητε δέ.
καὶ γὰ]ρ προσιόνθ’ ὁρᾶν δοκῶ μοι τουτονὶ
τὸν ἐρῶντα τόν τε συγκ[υνηγέτη]ν ἅμα,
αὑτοῖς ὑπὲρ τούτων τι σ[υγκοινουμ]ένους. ΧΑΙΡΕΑΣ τί φῄς; ἰδὼν ἐνθένδε παῖδ’ ἐλευθέραν
τὰς πλησίον Νύμφας στεφανοῦσαν, Σώστρατε,
ἐρῶν ἀπῆλθες εὐθύς;
ΣΩΣΤΡΑΤΟΣ εὐθύς.
[Χαι] ὡς ταχύ.
ἢ τοῦτ’ ἐβεβούλευς’ ἐξιών, ἐρᾶν τινος;
(Σω) σκώπτεις· ἐγὼ δέ, Χαιρέα, κακῶς ἔχω.
(Χαι) ἀλλ’ οὐκ ἀπιστῶ.
(Σω) διόπερ ἥκω παραλαβὼν
σὲ πρὸς τὸ πρᾶγμα, καὶ φίλον καὶ πρακτικὸν
κρίνας μάλιστα.
(Χαι) πρὸς τὰ τοιαῦτα, Σώστρατε,
οὕτως ἔχω· παραλαμβάνει τις τῶν φίλων
ἐρῶν ἑταίρας· εὐθὺς ἁρπάσας φέρω,
μεθύω, κατακάω, λόγον ὅλως οὐκ ἀνέχομαι·
πρὶν ἐξετάσαι γὰρ ἥτις ἐστί, δεῖ τυχεῖν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ μὲν βραδύνειν γὰρ τὸν ἔρωτ’ αὔξει πολύ,
ἐν τῶι ταχέως δ’ ἔνεστι παύσασθαι ταχύ.
γάμον λέγει τις καὶ κόρην ἐλευθέραν·
ἕτερος τίς εἰμ’ ἐνταῦθα· πυνθάνομαι γένος,
βίον, τρόπους. εἰς πάντα τὸν λοιπὸν χρόνον
μνείαν γὰρ ἤδη τῶι φίλωι καταλείπομαι
ὡς ἂν διοικήσω περὶ ταῦτα.
(Σω) καὶ μάλ’ εὖ
(οὐ πάνυ δ’ ἀρεσκόντως ἐμοί).
(Χαι) καὶ νῦν γε δεῖ
ταῦτα διακοῦσαι πρῶτον ἡμᾶς.
(Σω) ὄρθριον
τὸν Πυρρίαν τὸν συγκυνηγὸν οἴκοθεν
ἐγὼ πέπομφα—
(Χαι) πρὸς τίνα;
(Σω) αὐτῶι τῶι πατρὶ
ἐντευξόμενον τῆς παιδὸς ἢ τῶι κυρίωι
τῆς οἰκίας ὅστις ποτ’ ἐστίν.
(Χαι) Ἡράκλεις,
οἷον λέγεις.
(Σω) ἥμαρτον· οὐ γὰρ οἰκέτηι
ἥρμοττ’ ἴσως τὸ τοιοῦτ〈ό γ’〉. ἀλλ’ οὐ ῥάιδιον
ἐρῶντα συνιδεῖν ἐστι τί ποτε συμφέρει·
καὶ τὴν διατριβὴν ἥτις ἔστ’ αὐτοῦ πάλαι
τεθαύμακ’· εἰρήκειν γὰρ εὐθὺς οἴκαδε
αὐτῶι παρεῖναι πυθομένωι τἀνταῦθά μοι.
ΠΥΡΡΙΑΣ
πάρες, φυλάττου, πᾶς ἄπελθ’ ἐκ τοῦ μέσου·
μαίνεθ’ ὁ διώκων, μαίνεται.
(Σω) τί τοῦτο, παῖ;
(Πυ) φεύγετε.
(Σω) τί ἐστι;
(Πυ) βάλλομαι βώλοις, λίθοις·
ἀπόλωλα.
(Σω) βάλλει; ποῖ, κακόδαιμον;
(Πυ) οὐκέτι
ἴσως διώκει;
(Σω) μὰ Δία.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Πυ) ἐγὼ δ’ ᾤμην.
85.1 (Σω) τί δαὶ
85.2 λέγεις;
86 (Πυ) ἀπαλλαγῶμεν, ἱκετεύω σε.
86.1 (Σω) ποῖ;
86.2 (Πυ) ἀπὸ τῆς θύρας ἐντεῦθεν ὡς πορρωτάτω.
86.3 ’Οδύνης γὰρ ὑὸς ἦ〈ν〉· κακοδαιμ〈ον〉ῶν τις ἢ
86.4 μελαγχολῶν ἄνθρωπος οἰκῶ[ν ἐνθαδ]ὶ
90.1 τὴν οἰκίαν πρὸς ὅν μ’ ἔπεμπ[ες
90.2 μεγάλου κακοῦ· τοὺς δακτύλους [κατέαξα γὰρ
90.3 σχεδόν τι προσπταίων ἅπα[ντας
92.1 [?Σω]
92.2 ἐλθών;
93 〈Πυ〉 τί; πεπαρῴνηκε. δεῦ[ρο
93.1 [?Σω]
93.2 εὔδηλός ἐστι.
94 (Πυ) νὴ Δί’, ἐξώλ[ης ἄρα,
95.1 Σώστρατ’, ἀπολο[ίμην· ἔχε] δέ πως φυλακτικῶς.
95.2 ἀλλ’ οὐ δύναμαι λ[έγειν, προ]σέστηκεν δέ μοι
95.3 τὸ πνεῦμα. κόψας τὴν θύραν τῆς οἰκίας
95.4 τὸν κύριον ζητεῖν ἔφην· προῆλθέ μοι
95.5 γραῦς τις κακοδαίμων, αὐτόθεν δ’ οὗ νῦν λέγων ἕστηκ’ ἔδειξεν αὐτὸν ἐπὶ τοῦ λοφιδίου
95.6 ἐκεῖ περιφθειρόμενον ἀχράδας, ἢ πολὺν
95.7 κύφων’ ἑαυτῶι συλλέγοντα.
102.1 Χαι ὡς ὀργίλως.
102.2 τί, ὦ μακάριε;
103.1 〈Πυ〉 ἐγὼ μὲν εἰς τὸ χωρίον
103.2 ἐμβὰς ἐπορευόμην πρὸς αὐτὸν καὶ πάνυ
105.1 πόρρωθεν, εἶναί τις φιλάνθρωπος σφόδρα
105.2 ἐπιδέξιός τε βουλόμενος προσεῖπα καὶ “ἥκω τι” φημί “πρός σε, πάτερ, ἰδεῖν τί σε
105.3 σπεύδων ὑπὲρ σοῦ πρᾶγμ’”· 〈ὁ δ’〉 εὐθύς, “ἀνόσιε
105.4 ἄνθρωπέ,” φησιν, “εἰς τὸ χωρίον δέ μου
110.1 ἥκεις 〈σύ;〉 τί μαθών;” βῶλον αἴρεταί τινα·
110.2 ταύτην ἀφίης’ εἰς τὸ πρόσωπον αὐτό μου.
110.3 Χαι ἐς κόρακας.
112.1 (Πυ) ἐν ὅσωι δ’ “ἀλλά ς’ ὁ Ποσειδῶν—” λέγων
112.2 κατέμυσα, χάρακα λαμβάνει πάλιν τινά·
112.3 ταύτηι μ’ ἐκάθαιρε, “σοὶ δὲ κἀμοὶ πρᾶγμα τί
115.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐστιν;” λέγων, “τὴν δημοσίαν οὐκ οἶσθ’ ὁδόν;”
ὀξύτατον ἀναβοῶν τι.
Χαι μαινόμενον λέγεις
τελέως γεωργόν.
(Πυ) τὸ δὲ πέρας· φεύγοντα γὰρ
δεδίωχ’ ἴσως με στάδια πέντε καὶ δέκα,
περὶ τὸν λόφον πρώτιστον, εἶθ’ οὕτω κάτω
εἰς τὸ δασὺ τοῦτο, σφενδονῶν βώλοις, λίθοις,
ταῖς ἀχράσιν ὡς οὐκ εἶχεν οὐδὲν ἄλλ’ ἔτι.
ἀνήμερόν τι πρᾶγμα τελέως, ἀνόσιος
γέρων. ἱκετεύω ς’, ἄπιτε.
(Σω) δειλίαν λέγεις.
(Πυ) οὐκ ἴστε τὸ κακὸν οἷόν ἐστι. κατέδεται
ἡμᾶς.
Χαι τυχὸν ἴσως 〈ὅδ’〉 ὀδυνώμενός τι νῦν
τετύχηκε· διόπερ ἀναβαλέσθαι μοι δοκεῖ
αὐτῶι προσελθεῖν, Σώστρατ’· εὖ τοῦτ’ ἴσθ’ ὅτι
πρὸς πάντα πράγματ’ ἐστὶ πρακτικώτερον
εὐκαιρία.
Πυ νοῦν ἔχετε.
(Χαι) ὑπέρπικρον δέ τι
ἐστὶν πένης γεωργός, οὐχ οὗτος μόνος,
σχεδὸν δ’ ἅπαντες. ἀλλ’ ἕωθεν αὔριον
ἐγὼ πρόσειμ’ αὐτῶι μόνος, τὴν οἰκίαν
ἐπείπερ οἶδα. νῦν δ’ ἀπελθὼν οἴκαδε
καὶ σὺ διάτριβε· τοῦτο δ’ ἕξει κατὰ τρόπον.
(Πυ) πράττωμεν οὕτως.
Σω πρόφασιν οὗτος ἄσμενος
εἴληφεν· εὐθὺς φανερὸς ἦν οὐχ ἡδέως
μετ’ ἐμοῦ βαδίζων οὐδὲ δοκιμάζων πάνυ
τὴν ἐπιβολ]ὴν τὴν τοῦ γάμου. κακὸν δὲ σὲ
κακῶς ἅπ]αντες ἀπολέσειαν οἱ θεοί,
μαστιγία.]
[Πυ] [ τί δ’] ἠδίκηκα, Σώστρατε;
(Σω) κακῶς ἐπό]εις τὸ χωρίον τι δηλαδή.
[Πυ] οὐ μὰ Δί’] ἔκλεπτον.
(Σω) ἀλλ’ ἐμαστίγου σέ τις
οὐδὲν ἀδικοῦντα;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Πυ) καὶ πάρεστί γ’ οὑτοσί
143.2 αὐτὸς—ὑπάγω, βέλτιστε. σὺ δὲ τούτωι λάλει.
145.1 (Σω) οὐκ ἂν δυναίμην· ἀπίθανός τις εἴμ’ ἀεὶ
145.2 ἐν τῶι λαλεῖν. ποῖον λέγει[ ]νι;
145.3 οὐ πάνυ φιλάνθρωπον β[λέπειν μ]οι φαίνεται,
145.4 μὰ τὸν Δί’· ὡς δ’ ἐσπούδακ’. ἐ[πανάξ]ω βραχὺ
145.5 ἀπὸ τῆς θύρας. βέλτιον. ἀλλὰ κ[αὶ β]οᾶι μόνος βαδίζων. οὐχ ὑγιαίνειν μοι δοκεῖ.
145.6 δέδοικα μέντοι, μὰ τὸν Ἀπόλλω καὶ θεούς,
145.7 αὐτόν. τί γὰρ ἄν τις μὴ οὐχὶ τἀληθῆ λέγοι;
145.8 ΚΝΗΜΩΝ
153.1 εἶτ’ οὐ μακάριος ἦν ὁ Περσεὺς κατὰ δύο
153.2 τρόπους ἐκεῖνος, ὅτι πετηνὸς ἐγένετο
155.1 κοὐδενὶ συνήντα τῶν βαδιζόντων χαμαί,
155.2 εἶθ’ ὅτι τοιοῦτο κτῆμ’ ἐκέκτηθ’ ὧι λίθους
155.3 ἅπαντας ἐπόει τοὺς ἐνοχλοῦντας; ὅπερ ἐμοὶ
155.4 νυνὶ γένοιτ’· οὐδὲν γὰρ ἀφθονώτερον
155.5 λιθίνων γένοιτ’ 〈ἂν〉 ἀνδριάντων πανταχοῦ.
160.1 νῦν δ’ οὐ βιωτόν ἐστι, μὰ τὸν Ἀσκληπιόν.
160.2 λαλοῦς’ ἐπεμβαίνοντες εἰς τὸ χωρίον
160.3 ἤδη· παρ’ αὐτὴν τὴν ὁδὸν γάρ, νὴ Δία,
160.4 εἴωθα διατρίβειν· ὃς οὐδ’ ἐργάζομαι
160.5 τοῦτο τὸ μέρος 〈τοῦ〉 χωρίου, πέφευγα δὲ
165.1 διὰ τοὺς παριόντας. ἀλλ’ ἐπὶ τοὺς λόφους ἄνω
165.2 ἤδη διώκους’. ὢ πολυπληθείας ὄχλου.
165.3 οἴμοι, πάλιν τις οὑτοσὶ πρὸς ταῖς θύραις
165.4 ἕστηκεν ἡμῶν.
168.1 Σω ἆρα τυπτήσει γέ με;
168.2 Κν ἐρημίας οὐκ ἔστιν οὐδαμοῦ τυχεῖν,
170.1 οὐδ’ ἂν ἀπάγξασθαί τις ἐπιθυμῶν τύχηι.
170.2 Σω ἐμοὶ χαλεπαίνει〈σ〉; περιμένω, πάτερ, τινὰ
170.3 ἐνταῦθα· συνεθέμην γάρ.
172.1 (Κν) οὐκ ἐγὼ ’λεγον;
172.2 τουτὶ στοὰν νενομίκατ’ ἢ τὸ τοῦ Λεώ;
172.3 πρὸς τὰς ἐμὰς θύρας, ἐὰν ἰδεῖν τινα
175.1 βούλησθε, συντάττεσθ’ ἀπαντᾶν· παντελῶς, καὶ θῶκον οἰκοδομήσατ’, ἂν ἔχητε νοῦν,
175.2 μᾶλλον δὲ καὶ συνέδριον. ὢ τάλας ἐγώ,
175.3 ἐπηρεασμὸς τὸ κακὸν εἶναί μοι δοκεῖ.
175.4 Σω οὐ τοῦ τυχόντος, ὡς ἐμοὶ δοκεῖ, πόνου
180.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τουτὶ τὸ πρᾶγμά 〈γ’〉 ἀλλὰ συντονωτέρου.
180.2 πρόδηλόν ἐστιν. ἆρ’ ἐγὼ πορεύσομαι
180.3 ἐπὶ τὸν Γέταν τὸν τοῦ πατρός; νὴ τοὺς θεοὺς
180.4 ἔγωγ’· ἔχει 〈τι〉 διάπυρον καὶ πραγμάτων
180.5 ἔμπειρός ἐστιν παντοδαπῶν· τὸ δύσκολον
185.1 τὸ τοῦδ’ ἐκεῖνος 〈 〉 ἀπώσετ’, οἶδ’ ἐγώ.
185.2 τὸ μὲν χρόνον γὰρ ἐμποεῖν τῶι πράγματι
185.3 ἀποδοκιμάζω. πόλλ’ ἐν ἡμέραι μίαι
185.4 γένοιτ’ ἄν. ἀλλὰ τὴν θύραν πέπληχέ τις.
185.5 ΚΟΡΗ
189 οἴμοι τάλαινα τῶν ἐμῶν ἐγὼ κακῶν·
190.1 τί νῦν ποήσω; τὸν κάδον γὰρ ἡ τροφὸς
190.2 ἱμῶς’ ἀφῆκεν εἰς τὸ φρέαρ.
191.1 Σω ὦ Ζεῦ πάτερ,
191.2 καὶ Φοῖβε Παιάν, ὦ Διοσκόρω φίλω,
191.3 κάλλους ἀμάχου.
193.1 (Κο) θερμὸν 〈δ’〉 ὕδωρ πρ[οσέταξέ μοι
193.2 ποιεῖν ὁ πάππας ἐξιών.
194 (Σω) ἄνδρε[ς, τέρας.
195.1 (Κο) ἐὰν δὲ τοῦτ’ αἴσθητ’, ἀπολεῖ κακ[
195.2 παίων ἐκείνην. οὐ σχολὴ ματ[
195.3 ὦ φίλταται Νύμφαι, παρ’ ὑμῶν λη[πτέον. αἰσχύνομαι μέν, εἴ τινες θύους’ ἄ[ρα
195.4 ἔνδον, ἐνοχλεῖν—
199.1 (Σω) ἀλλ’ ἂν ἐμοὶ δ[ῶις, αὐτίκα βάψας ἐγώ σοι τ[ὴν ὑδρίαν ἥ]ξω φέρων.
199.2 (Κο) ναὶ πρὸς θεῶν, ἄ[νυσον δέ.]
201.1 (Σω) ἐλευθερίως γέ πως
201.2 ἄγροικός ἐστιν. ὦ πολυτίμητοι θεοί,
201.3 τίς ἂν ἐμὲ σώσαι δ[αιμό]νων;
203.1 (Κο) τάλαιν’ ἐγώ,
203.2 τίς ἐψόφηκεν; ἆρ’ ὁ πάππας ἔρχεται;
205.1 ἔπειτα πληγὰς λήψομ’ ἄν με καταλάβηι
205.2 ἔξω.
206.1 ΔΑΟΣ διατρίβω σοι διακονῶν πάλαι
206.2 ἐνταῦθ’, ὁ δὲ σκάπτει μόνος. πορευτέον
206.3 πρὸς ἐκεῖνόν ἐστιν. ὦ κάκιστ’ ἀπολουμένη
206.4 Πενία, τί ς’ ἡμεῖς τηλικοῦτ’ ἐφεύρομεν;
210.1 τί τοσοῦτον ἡμῖν ἐνδελεχῶς οὕτω χρόνον
210.2 ἔνδον κάθησαι καὶ συνοικεῖς;
211.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Σω) λάμβανε
211.2 τηνδί.
212 (Κο) φέρε δεῦρο.
212.1 Δα τί ποτε βούλεθ’ οὑτοσὶ
212.2 ἄνθρωπος;
213.1 (Σω) ἔρρως’, ἐπιμελοῦ τε τοῦ πατρός.
213.2 οἴμοι, κακοδαίμων. παῦε θρηνῶν, Σώστρατε·
215 ἔσται κατὰ τρόπον.
215 (Δα) κατὰ τρόπον τί;
215.1 (Σω) μὴ φοβοῦ, ἀλλ’ ὅπερ ἔμελλες ἄρτι τὸν Γέταν λαβὼν
215.2 ἐπάνηκ’, ἐκείνωι πᾶν τὸ πρᾶγμ’ εἰπὼν σαφῶς.
215.3 Δα τουτὶ τὸ κακὸν τί ποτ’ ἐστίν; ὡς οὔ μοι πάνυ
215.4 τὸ πρᾶγμ’ ἀρέσκει. μειράκιον διακονεῖ
220.1 κόρηι· πονηρόν. ἀλλά ς’, ὦ Κνήμων, κακὸν
220.2 κακῶς ἅπαντες ἀπολέσειαν οἱ θεοί.
220.3 ἄκακον κόρην μόνην ἀφεὶς ἐν ἐρημίαι
220.4 ἐᾶις, φυλακὴν οὐδεμίαν ὡς προσῆκον ἦν
220.5 ποιούμενος. τουτὶ καταμανθάνων ἴσως
225.1 οὗτος προσερρύη, νομίζων ὡσπερεὶ
225.2 ἕρμαιον. οὐ μὴν ἀλλὰ 〈τ〉 ἀδελφῶι γε δεῖ
225.3 αὐτῆς φράσαι με τὴν ταχίστην ταῦθ’, ἵνα
225.4 ἐν ἐπιμελείαι τῆς κόρης γενώμεθα.
225.5 ἤδη δὲ τοῦτ’ ἐλθὼν ποήσειν μοι δοκῶ.
230.1 καὶ γὰρ προσιόντας τούσδε Πανιστάς τινας
230.2 εἰς τὸν τόπον δεῦρ’ ὑποβεβρεγμένους ὁρῶ,
230.3 οἷς μὴ ’νοχλεῖν εὔκαιρον εἶναί μοι δοκεῖ.
232.1 ΧΟΡΟΥ
232.2 ΓΟΡΓΙΑΣ
233.1 οὕτω παρέργως δ’, εἰπέ μοι, τῶι πράγματι
233.2 φαύλως τ’ ἐχρήσω;
234 Δα πῶς;
234 (Γο) ἔδει σε, νὴ Δία,
235.1 τὸν τῆι κόρηι προσιόντα, 〈Δᾶ’〉, ὅστις ποτ’ ἦν,
235.2 ἰδεῖν τότ’ εὐθύς, τοῦτο τοῦ λοιποῦ χρόνου
235.3 εἰπεῖν θ’ ὅπως μηδείς ποτ’ αὐτὸν ὄψεται
235.4 ποιοῦντα· νυνὶ δ’ ὥσπερ ἀλλοτρίου τινὸς
235.5 πράγματος ἀπέστης. οὐκ ἔνεστ’ ἴσως φυγεῖν
240.1 οἰκειότητα, Δᾶ’. ἀδελφῆς ἔτι μέλει
240.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐμῆ[ς]. ὁ πατὴρ ἀλλότριος εἶναι βούλεται
αὐτῆς πρὸς ἡμᾶς· μὴ τὸ τούτου δύσκολον
μιμώμεθ’ ἡμεῖς· ἂν γὰρ αἰσχύνηι τινὶ
αὕτη] περιπέσηι, τοῦτο κἀμοὶ γίνεται
ὄνειδο]ς. ὁ γὰρ ἔξωθεν οὐ τὸν αἴτιον
ὅστις] πότ’ ἐστιν οἶδεν, ἀλλὰ τὸ γεγονός.
[ ]ν.
(Δα) ὦ τᾶν, τὸν γέροντα, Γοργία,
δέδοικ’· ἐ]ὰν γὰρ τῆι θύραι προσιόντα με
λάβηι, κρ]εμᾶι παραχρῆμα.
Γο δυσχρήστως γέ πως [ ζυ]γομαχῶν τοῦτον οὔθ’ ὅτωι τρόπωι
ἀναγκάσαι τις εἰς τὸ βέλτι[ον ......]ν
οὔτ’ ἂν μεταπείσαι νουθετῶν ο[.......]ς
ἀλλ’ ἐμποδὼν τῶι μὲν βιάσασθαι τὸν νόμον
ἔχει μεθ’ αὑτοῦ, τῶι δὲ πεῖσαι τὸν τρόπον.
Δα μικρὸν δ’ ἐπίσχες· οὐ μάτην γὰρ ἥκομεν,
ἀλλ’ ὥσπερ εἶπον ἔρχετ’ ἀνακάμψας πάλιν.
Γο ὁ τὴν χλανίδ’ ἔχων; οὗτος ἐστὶν ὃν λέγεις;
(Δα) οὗτος.
(Γο) κακοῦργος εὐθὺς ἀπὸ τοῦ βλέμματος.
Σω τὸν μὲν Γέταν οὐκ ἔνδον ὄντα κατέλαβον,
μέλλουσα δ’ ἡ μήτηρ θεῶι θύειν τινί—
οὐκ οἶδ’ ὅτωι—ποιεῖ δὲ τοῦθ’ ὁσημέραι, περιέρχεται θύουσα τὸν δῆμον κύκλωι
ἅπαντ’—ἀπέσταλκ’ αὐτὸν αὐτόθεν τινὰ
μισθωσόμενον μάγειρον. ἐρρῶσθαι δὲ τῆι
θυσίαι φράσας ἥκω πάλιν πρὸς τἀνθάδε.
καί μοι δοκῶ τοὺς περιπάτους τούτους ἀφεὶς
αὐτὸς διαλέξεσθ’ ὑπὲρ ἐμαυτοῦ. τὴν θύραν
κόψω δ’, ἵν’ ἧι μοι μηδὲ βουλεύσασθ’ ἔτι.
Γο μειράκιον, ἐθελήσαις ἂν ὑπομεῖναι λόγον
σπουδαιότερόν μου;
(Σω) καὶ μάλ’ ἡδέως· λέγε.
(Γο) εἶναι νομίζω πᾶσιν ἀνθρώποις ἐγὼ
τοῖς τ’ εὐτυχοῦσιν τοῖς τε πράττουσιν κακῶς
πέρας τι τούτου καὶ μεταλλαγήν τινα,
καὶ τῶι μὲν εὐτυχοῦντι μέχρι τούτου μένειν
τὰ πράγματ’ εὐθενοῦντ’ ἀεὶ τὰ τοῦ βίου
ὅσον ἂν χρόνον φέρειν δύνηται τὴν τύχην

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μηδὲν ποήσας ἄδικον· εἰς δὲ τοῦθ’ ὅταν
ἔλθηι προαχθεὶς τοῖς ἀγαθοῖς, ἐνταῦθά που
τὴν μεταβολὴν τὴν εἰς τὸ χεῖρον λαμβάνει·
τοῖς δ’ ἐνδεῶς πράττουσιν, ἂν μηδὲν κακὸν
ποιῶσιν ἀποροῦντες, φέρωσιν δ’ εὐγενῶς
τὸν δαίμον’, εἰς πίστιν ποτ’ ἐλθόντας χρόνωι,
βελτίον’ εἶναι μερίδα προσδοκᾶν τινα.
τί οὖν λέγω; μήτ’ αὐτός, εἰ σφόδρ’ εὐπορεῖς,
πίστευε τούτωι, μήτε τῶν πτωχῶν πάλιν
ἡμῶν καταφρόνει· τοῦ διευτυχεῖν δ’ ἀεὶ
πάρεχε σεαυτὸν τοῖς ὁρῶσιν ἄξιον.
Σω ἄτοπον δέ σοι τι φαίνομαι νυνὶ ποεῖν;
(Γο) ἔργον δοκεῖς μοι φαῦλον ἐζηλωκέναι,
πείσειν νομίζων ἐξαμαρτεῖν παρθένον
ἐλευθέραν, ἢ καιρὸν ἐπιτηρῶν τινα κατεργάσασθαι πρᾶγμα θανάτων ἄξιον
πολλῶν.
(Σω) Ἄπολλον.
(Γο) οὐ δίκαιόν ἐστι γοῦν
τὴν σὴν σχολὴν τοῖς ἀσχολουμένοις κακὸν
ἡμῖν γενέσθαι. τῶν δ’ ἁπάντων ἴσθ’ ὅτι
πτωχὸς ἀδικηθείς ἐστι δυσκολώτατο[ν.
πρῶτον μέν ἐστ’ ἐλεινός, εἶτα λαμβάνει
οὐκ εἰς ἀδικίαν ὅσα πέπονθ’, ἀλλ’ εἰς [ὕβριν.
Σω μειράκιον, οὕτως εὐτυχοίης, βραχ[ύ τι μου ἄκουσον— (Δα) εὖ γε, δέσποθ’, οὕτω πολλά [μοι
ἀγαθὰ γένοιτο.
(Σω) —καὶ σύ γ’, ὁ λαλῶν πρ[ὶν μαθεῖν.
κόρην τιν’ εἶδο[ν ἐνθαδί· τ]αύτης ἐρῶ.
εἰ τοῦτ’ ἀδίκημ’ ε[ἴρηκ]ας, ἠδίκηκ’ ἴσως.
τί γὰρ ἄν τις εἴποι; π[λὴν π]ορεύομ’ ἐνθάδε
οὐχὶ πρὸς ἐκείνην, βούλομαι δ’ αὐτῆς ἰδεῖν
τὸν πατέρ’. ἐγὼ γάρ, ὢν ἐλεύθερος, βίον
ἱκανὸν ἔχων, ἕτοιμός εἰμι λαμβάνειν
αὐτὴν ἄπροικον, πίστιν ἐπιθεὶς διατελεῖν
στέργων. ἐπὶ κακῶι δ’ εἰ προσελήλυθ’ ἐνθάδε
ἢ βουλόμενος ὑμῶν 〈τι〉 κακοτεχνεῖν λάθραι,
οὗτός μ’ ὁ Πάν, μειράκιον, αἱ Νύμφαι θ’ ἅμα
ἀπόπληκτον αὐτοῦ πλησίον τῆς οἰκίας
ἤδη ποήσειαν. τετάραγμ’, 〈εὖ〉 ἴσθ’ ὅτι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐδὲ μετρίως, εἴ σοι τοιοῦτος φαίνομαι.
Γο ἀλλ’ εἴ τι κἀγὼ τοῦ δέοντος σφοδρότερον
εἴρηκα, μηδὲν τοῦτο λυπείτω ς’ ἔτι.
ἅμα γὰρ μεταπείθεις ταῦτα καὶ φίλον μ’ ἔχεις. οὐκ ἀλλότριος δ’ ὤν, ἀλλ’ ἀδελφὸς τῆς κόρης
ὁμομήτριος, βέλτιστε, ταῦτά σοι λέγω.
Σω καὶ χρήσιμός γ’ εἶ, νὴ Δί’, εἰς τὰ λοιπά μοι.
(Γο) τί χρήσιμος;
(Σω) γεννικὸν ὁρῶ σε τῶι τρόπωι.
(Γο) οὐ πρόφασιν εἰπὼν βούλομ’ ἀποπέμψαι κενήν,
τὰ δ’ ὄντα πράγματ’ ἐμφανίσαι. ταύτηι πατήρ
ἐσθ’ οἷος οὐδεὶς γέγονεν οὔτε τῶν πάλαι
ἄνθρωπος οὔτε τῶν καθ’ ἡμᾶς.
(Σω) ὁ χαλεπός·
σχεδὸν οἶδα.
(Γο) ὑπερβολή τις ἐστὶν τοῦ κακοῦ.
τούτωι ταλάντων ἔστ’ ἴσως τουτὶ δυεῖν
τὸ κτῆμα. τοῦτ’ αὐτὸς γεωργῶν διατελεῖ
μόνος, συνεργὸν δ’ οὐδέν’ ἀνθρώπων ἔχων,
οὐκ οἰκέτην οἰκεῖον, οὐκ ἐκ τοῦ τόπου
μισθωτόν, οὐχὶ γείτον’, ἀλλ’ αὐτὸς μόνος.
ἥδιστόν ἐστ’ αὐτῶι γὰρ ἀνθρώπων ὁρᾶν
οὐδένα. μεθ’ αὑτοῦ τὴν κόρην ἐργάζεται
ἔχων τὰ πολλά· προσλαλεῖ ταύτηι μόνηι,
ἑτέρωι δὲ τοῦτ’ οὐκ ἂν ποήσαι ῥαιδίως.
τότε φησὶν ἐκδώσειν ἐκείνην, ἡνίκ’ ἂν
ὁμότροπον αὑτῶι νυμφίον λάβηι.
(Σω) λέγεις
οὐδέποτε.
(Γο) μὴ δὴ πράγματ’, ὦ βέλτιστ’, ἔχε·
μάτην γὰρ ἕξεις. τοὺς δ’ ἀναγκαίους ἔα
ἡμᾶς φέρειν ταῦθ’, οἷς δίδωσιν ἡ τύχη.
(Σω) πρὸς τῶν θεῶν οὐπώποτ’ ἠράσθης τινός,
μειράκιον;
(Γο) οὐδ’ ἔξεστί μοι, βέλτιστε.
(Σω) πῶς;
τίς ἔσθ’ ὁ κωλύων;
(Γο) ὁ τῶν ὄντων κακῶν λογισμός, ἀνάπαυσιν διδοὺς οὐδ’ ἡντινοῦν.
(Σω) οὔ μοι δοκεῖς· ἀπειρότερον γοῦν διαλέγει

περὶ ταῦτ’· ἀποστῆναι κελεύεις μ’. οὐκέτι
345.3 τοῦτ’ ἐσ]τὶν ἐπ’ ἐμοί, τῶι θεῶι δέ.
347.1 (Γο) τοιγαροῦν
347.2 οὐδὲ]ν ἀδικεῖς ἡμᾶς, μάτην δὲ κακοπαθεῖς.
347.3 (Σω) οὐκ, εἰ λά]βοιμι τὴν κόρην.
349.1 (Γο) οὐκ ἂν λάβοις. [ ]υνα συν〈α〉κολουθήσας ἐμοὶ
349.2 [ ]παρατης · πλησίον γὰρ τὴν νάπην
349.3 ἐργάζε]θ’ ἡμῶν.
352 (Σω) πῶς;
352.1 (Γο) λόγον τιν’ ἐμβαλῶ
352.2 περὶ τοῦ] γάμου 〈τοῦ〉 τῆς κόρης· τὸ τοιοῦτο γὰρ
352.3 ἴδοιμι κἂ]ν αὐτὸς γενόμενον ἄσμενος.
355.1 εὐθὺς μαχεῖται πᾶσι, λοιδορούμενος
355.2 εἰς τοὺς βίους οὓς ζῶσι· σὲ δ’ [ἄγοντ’ ἂν] ἴδηι
355.3 σχολὴν τρυφῶντά τ’, οὐδ’ ὁρῶν γ’ ἀνέξεται.
355.4 Σω νῦν ἔστ’ ἐκεῖ;
358.1 (Γο) μὰ Δί’, ἀλλὰ μ[ικρ]ὸν ὕστερον
358.2 ἔξεισιν ἣν εἴωθεν.
359 (Σω) ὦ τᾶν, τὴν κόρην
360 ἄγων μεθ’ αὑτοῦ, φήις;
360 (Γο) ὅπως ἂν τοῦτό γε τύχηι.
361.1 (Σω) βαδίζειν 〈εἰμ’〉 ἕτοιμος οἷ λέγεις.
361.2 ἀλλ’, ἀντιβολῶ, συναγώνισαί μοι.
362.1 (Γο) τίνα τρόπον;
362.2 (Σω) ὅντινα τρόπον; προάγωμεν οἷ λέγεις.
363.1 (Δα) τί οὖν;
363.2 ἐργαζομένοις ἡμῖν παρεστήξεις ἔχων
365 χλανίδα;
365 (Σω) τί δὴ γὰρ οὐχί;
365.1 Δα ταῖς βώλοις βαλεῖ
365.2 εὐθύς ς’, ἀποκαλεῖ τ’ ὄλεθρον ἀργόν. ἀλλὰ δεῖ
365.3 σκάπτειν μεθ’ ἡμῶν ς’· εἰ τύχοι γάρ, τοῦτ’ ἰδὼν
365.4 ἴσως ἂν ὑπομείνειε καὶ παρὰ σοῦ τινα
365.5 λόγον, νομίσας αὐτουργὸν εἶναι τῶι βίωι
370 πένητα.
370.1 (Σω) ἕτοιμος πάντα πειθαρχεῖν. ἄγε.
370.2 Γο τί κακοπαθεῖν σαυτὸν βιάζηι;
371.1 Δα βούλομαι
371.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς πλεῖστον ἡμᾶς ἐργάσασθαι τήμερον
371.3 τοῦτόν τε τὴν ὀσφῦν ἀπορρήξανθ’ ἅμα
371.4 παύσασθ’ ἐνοχλοῦνθ’ ἡμῖν προσιόντα τ’ ἐνθάδε.
375 Σω ἔκφερε δίκελλαν.
375.1 (Δα) τὴν παρ’ ἐμοῦ λαβὼν ἴθι.
375.2 τὴν αἱμασιὰν ἐποικοδομήσω γὰρ τέως
375.3 ἐγώ. ποητέον δὲ καὶ τοῦτ’ ἐστί.
377.1 (Σω) δός.
377.2 ἀπέσωσας.
378.1 〈Δα〉 ὑπάγω, τρόφιμ’· ἐκεῖ διώκετε.
378.2 (Σω) οὕτως ἔχω· παραποθανεῖν ἤδη με δεῖ
380 ἢ ζῆν ἔχοντα τὴν κόρην.
380 (Γο) εἴπερ λέγεις ἃ φρονεῖς, ἐπιτύχοις.
381.1 (Σω) ὦ πολυτίμητοι θεοί,
381.2 οἷς ἀποτρέπεις νυνὶ γὰρ ὡς οἴει με σύ,
381.3 τούτοις παρώξυμμ’ εἰς τὸ πρᾶγμα διπλασίως.
381.4 εἰ μὴ γὰρ ἐν γυναιξίν ἐστιν ἡ κόρη
385.1 τεθραμμένη μηδ’ οἶδε τῶν ἐν τῶι βίωι
385.2 τούτων κακῶν μηδὲν ὑπὸ τηθίδος τινὸς
385.3 δειδισαμένη μαίας τ’, ἐλευθερίως δέ πως
385.4 μετὰ πατρὸς ἀγρίου μισοπονήρου τῶι τρόπωι,
385.5 πῶς οὐκ ἐπιτυχεῖν ἐστι ταύτης μακάριον;
390.1 ἀλλ’ ἡ δίκελλ’ ἄγει τάλαντα τέτταρα
390.2 αὕτη· προαπολεῖ μ’. οὐ μαλακιστέον δ’ ὅμως,
390.3 ἐπείπερ ἦργμαι καταπονεῖν τὸ πρᾶγμ’ ἅπαξ.
390.4 ΣΙΚΩΝ
393.1 τουτὶ τὸ πρόβατόν ἐστιν οὐ τὸ τυχὸν καλόν.
393.2 ἄπαγ’ εἰς τὸ βάραθρον. ἂν μὲν αἰρόμενος φέρω
395.1 μετέωρον, ἔχεται τῶι στόματι θαλλοῦ, κράδης
395.2 κατεσθίει τὰ θρῖ’, ἀποσπᾶι δ’ εἰς βίαν.
395.3 ἐὰν δ’ ἀφῆι χαμαί τις, οὐ προέρχεται.
395.4 τοὐναντίον δὴ γέγονε· κατακέκομμ’ ἐγὼ
395.5 ὁ μάγειρος ὑπὸ τούτου νεωλκῶν τὴν ὁδόν. ἀλλ’ ἐστὶν εὐτυχῶς τὸ νυμφαῖον τοδ[ὶ
395.6 οὗ θύσομεν. τὸν Πᾶνα χαίρειν. παῖ Γέτα,
395.7 τοσοῦτ’ ἀπολείπηι;
402.1 (ΓΕΤΑΣ) τεττάρων γὰρ φορτίον
402.2 ὄνων συνέδησαν αἱ κάκιστ’ ἀπολούμεναι
402.3 φέρειν γυναῖκές μοι.
404

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Σι) πολύς τις ἔρχεται
405.1 ὄχλος ὡς ἔοικε. στρώματ’ ἀδιήγηθ’ ὅσα
405.2 φέρεις.
406 (Γε) τί δ’ ἐγ[ω...]
406 [Σι] ἔρεισον ταῦτα δεῦρο.
406.1 〈Γε〉 ἰδού.
406.2 ἐὰν ἴδηι γὰρ ἐνύπνιον τὸν Πᾶνα τὸν
406.3 Παιανιοῖ, τούτωι βαδιούμεθ’, οἶδ’ ὅτι,
406.4 θύσοντες εὐθύς.
409 (Σι) τίς δ’ ἑόρακεν ἐνύπνιον;
410 (Γε) ἄνθρωπε, μή με κόπτε.
410.1 (Σι) ὅμως εἶπον, Γέτα.
410.2 τίς εἶδεν;
411 (Γε) ἡ κεκτημένη.
411.1 (Σι) τί πρὸς θεῶν;
411.2 (Γε) ἀπολεῖς. ἐδόκει τὸν Πᾶνα—
412.1 (Σι) τουτονὶ λέγεις;
412.2 (Γε) τοῦτον.
413 (Σι) τί ποιεῖν;
413.1 (Γε) τῶι τροφίμωι τῶι Σωστράτωι—
413.2 (Σι) κομψῶι νεανίσκωι γε.
414 (Γε) περικρούειν πέδας.
415 (Σι) Ἄπολλον.
415.1 (Γε) εἶτα δόντα διφθέραν τε καὶ
415.2 δίκελλαν 〈ἐν〉 τοῦ πλησίον τῶι χωρίωι
415.3 σκάπτειν κελεύειν.
417 (Σι) ἄτοπον.
417.1 (Γε) ἀλλὰ θύομεν διὰ τοῦθ’, ἵν’ εἰς βέλτιον ἀποβῆι τὸ φοβερόν.
417.2 Σι μεμάθηκα. πάλιν αἶρου δὲ ταυτὶ καὶ φέρε
420.1 εἴσω. ποῶμεν στιβάδας ἔνδον εὐτρεπεῖς
420.2 καὶ τἆλλ’ ἕτοιμα. μηδὲν ἐπικωλυέτω
420.3 θύειν γ’ ἐπὰν ἔλθωσιν. ἀλλ’ ἀγαθῆι τύχηι.
420.4 καὶ τὰς ὀφρῦς ἄνες ποτ’, ὦ τρισάθλιε·
420.5 ἐγώ σε χορτάσω κατὰ τρόπον τήμερον.
425.1 Γε ἐπαινέτης σοῦ τ’ εἰμι καὶ τῆς 〈σῆσ〉 τέχνης
425.2 ἔγωγ’ ἀεί ποτ’—οὐχὶ πιστεύω δ’ ὅμως.
426.1 ΧΟΡΟΥ
426.2 Κν γραῦ, τὴν θύραν κλείσας’ ἄνοιγε μηδενί,
426.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἕως ἂν ἔλθω δεῦρ’ ἐγὼ πάλιν· σκότους
426.4 ἔσται δὲ τοῦτο παντελῶς, ὡς οἴομαι.
430 〈ΜΗΤΗΡ〉
430.1 Πλαγγών, πορεύου θᾶττον· ἤδη τεθυκέναι
430.2 ἡμᾶς ἔδει.
431.1 Κν τουτὶ τὸ κακὸν τί βούλεται;
431.2 ὄχλος τις. ἄπαγ’ ἐς κόρακας.
432.1 (Μη) αὔλει, Παρθενί,
432.2 Πανός· σιωπῆι, φασί, τούτωι τῶι θεῶι
432.3 οὐ δεῖ προσιέναι.
434 (Γε) νὴ Δί’ ἀπεσώθητέ γε.
435 〈Κν〉 ὢ Ἡράκλεις, ἀηδίας.
435.1 〈Γε〉 καθήμεθα
435.2 χρόνον τοσοῦτον περιμένοντες.
436.1 (Μη) εὐτρεπῆ
436.2 ἅπαντα δ’ ἡμῖν ἐστι;
437.1 (Γε) ναὶ μὰ τὸν Δία.
437.2 〈Μη〉 τὸ γοῦν πρόβατον—μικροῦ τέθνηκε γάρ, τάλαν—
437.3 οὐ περιμένει τὴν σὴν σχολήν. ἀλλ’ εἴσιτε·
440.1 κανᾶ πρόχειρα, χέρνιβας, θυλήματα
440.2 ποιεῖτε.
441.1 〈Γε〉 ποῖ κέχηνας, ἐμβρόντητε σύ;
441.2 Κν κακοὶ κακῶς ἀπόλοισθε. ποιοῦσίν γε με
441.3 ἀργόν· καταλιπεῖν γὰρ μόνην τὴν οἰκίαν
441.4 οὐκ ἂν δυναίμην. αἱ δὲ Νύμφαι μοι κακὸν
445.1 ἀεὶ παροικοῦσ’, ὥστε μοι δοκῶ πάλιν
445.2 μετοικοδομήσειν καταβαλὼν τὴν οἰκίαν
445.3 ἐντεῦθεν. ὡς θύουσι δ’ οἱ τοιχωρύχοι·
445.4 κοίτας φέρονται, σταμνί’, οὐχὶ τῶν θεῶν
445.5 ἕνεκ’ ἀλλ’ ἑαυτῶν. ὁ λιβανωτὸς εὐσεβὲς καὶ τὸ πόπανον· τοῦτ’ ἔλαβεν ὁ θεὸς ἐπὶ τὸ πῦρ
445.6 ἅπαν ἐπιτεθέν. οἱ δὲ τὴν ὀσφῦν ἄκραν
445.7 καὶ τὴν χολήν, ὅτι ἔστ’ ἄβρωτα, τοῖς θεοῖς
445.8 ἐπιθέντες αὐτοὶ τἄλλα καταπίνουσι. γραῦ,
445.9 ἄνοιγε θᾶττον τὴν θύραν. [ποητέ]ον
455.1 ἐστὶν γὰρ ἡμῖν τἄνδον ὡς ἐμοὶ δοκεῖ.
455.2 (Γε) τὸ λεβήτιον, φῄς, ἐπιλέλη[σθ]ε; παντελῶς
455.3 ἀποκραιπαλᾶτε. καὶ τί νῦν ποιήσομεν;
455.4 ἐνοχλητέον τοῖς γειτνιῶσι τῶι θεῶι ἐσθ’ ὡς ἔοικε. παιδίον. μὰ τοὺς θεοὺς
460.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θεραπαινίδια γὰρ ἀθλιώτερ’ οὐδαμοῦ
οἶμαι τρέφεσθαι. παῖδες. οὐδὲν ἄλλο πλὴν
κινητιᾶν ἐπίσταται—παῖδες καλοί—
καὶ διαβαλεῖν ἐὰν ἴδηι τις. παιδίον.
τουτὶ τὸ κακὸν 〈τί〉 ἐστί; παῖδες. οὐδὲ εἷς
ἐστ’ ἔνδον. ἠήν. προστρέχειν τις φαίνεται.
Κν τί τῆς θύρας ἅπτει, τρισάθλι’, εἰπέ μοι,
ἄνθρωπε;
〈Γε〉 μὴ δάκηις.
(Κν) ἐγώ σε νὴ Δία,
καὶ κατέδομαί γε ζῶντα.
(Γε) μή, πρὸς 〈τῶν〉 θεῶν.
(Κν) ἐμοὶ γάρ ἐστι συμβόλαιον, ἀνόσιε,
καὶ σοί τι;
(Γε) συμβόλαιον οὐδέν· τοιγαροῦν
προσελήλυθ’ οὐ χρέος ς’ ἀπαιτῶν οὐδ’ ἔχων
κλητῆρας, ἀλλ’ αἰτησόμενος λεβήτιον.
(Κν) λεβήτιον;
(Γε) λεβήτιον.
〈Κν〉 μαστιγία,
θύειν με βοῦς οἴει ποεῖν τε ταὔθ’ ἅπερ
ὑμεῖς ποεῖτε;
(Γε) οὐδὲ κοχλίαν ἔγωγέ σε.
ἀλλ’ εὐτύχει, βέλτιστε. κόψαι τὴν θύραν
ἐκέλευσαν αἱ γυναῖκες αἰτῆσαί τε με.
ἐπόησα τοῦτ’· οὐκ ἔστι· πάλιν ἀπαγγελῶ
ἐλθὼν ἐκείναις. ὢ πολυτίμητοι θεοί,
ἔχις πολιὸς ἄνθρωπός ἐστιν οὑτοσί.
(Κν) ἀνδροφόνα θηρί’· εὐθὺς ὥσπερ πρὸς φίλον
κόπτουσιν. ἂν ἡμῶν προσιόντα τῆι θύραι λάβω τιν’, ἂν μὴ πᾶσι τοῖς ἐν τῶι τόπωι
παράδειγμα ποιήσω, νομίζεθ’ ἕνα τινὰ
ὁρᾶν με τῶν πολλῶν. ὁ νῦν οὐκ οἶδ’ ὅπως
διευτύχηκεν οὗτος, ὅστις ἦν ποτε.
Σι κάκιστ’ ἀπόλοι’· ἐλοιδορεῖτό σοι; τυχὸν
ἤιτεις, σκατοφάγ’· ὡς οὐκ ἐπίστανταί τινες
ποιεῖν τὸ τοιοῦθ’· εὕρηκ’ ἐγὼ τούτου τέχνην·
διακονῶ γὰρ μυρίοις ἐν τῆι πόλει
τούτων τ’ ἐνοχλῶ τοῖς γείτοσιν καὶ λαμβάνω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σκεύη παρὰ πάντων. δεῖ γὰρ εἶναι κολακικὸν
490.4 τὸν δεόμενόν του. πρεσβύτερός τις τῆι θύραι
490.5 ὑπακήκο’· εὐθὺς πατέρα καὶ πάππα[ν λέγω.
495.1 γραῦς· μητέρ’. ἂν τῶν διὰ μέσου τ[ις ἦι γυνή,
495.2 ἐκάλες’ ἱερέαν. ἂν θεράπων[
495.3 βέλτιστον. ὑμεῖς δὲ κρεμαν.[
495.4 ὢ τῆς ἀμαθίας. παιδίον παῖ[
495.5 ἐγώ. πρόελθε, πατρίδιον· σὲ β[ούλομαι. Κν πάλιν αὖ σύ; (Σι) π[αῖ, τί το]ῦτ’; (Κν) ἐρεθίζεις μ’ ὡσπερεὶ
495.6 ἐπίτηδες, οὐκ εἴρηκά σοι πρὸς τὴν θύραν
495.7 μὴ προσιέναι; τὸν ἱμάντα δός, γραῦ.
502.1 (Σι) μηδαμῶς,
502.2 ἀλλ’ ἄφες.
503 (Κν) ἄφες;
503.1 〈Σι〉 βέλτιστε, ναὶ πρὸς 〈τῶν〉 θεῶν.
503.2 (Κν) ἧκε πάλιν.
504 (Σι) ὁ Ποσειδῶν σε—
504 (Κν) καὶ λαλεῖς ἔτι;
505 (Σι) αἰτούμενος χυτρόγαυλον ἦλθον.
505.1 (Κν) οὐκ ἔχω
505.2 οὔτε χυτρόγαυλον οὔτε πέλεκυν οὔθ’ ἅλας
505.3 οὔτ’ ὄξος οὔτ’ ἄλλ’ οὐδέν, ἀλλ’ εἴρηχ’ ἁπλῶς
505.4 μὴ προσιέναι μοι πᾶσι τοῖς ἐν τῶι τόπωι.
505.5 (Σι) ἐμοὶ μὲν οὐκ εἴρηκας.
509 (Κν) ἀλλὰ νῦν λέγω.
510.1 (Σι) νὴ σὺν κακῶι γ’. οὐδ’ ὁπόθεν ἄν τις, εἰπέ μοι,
510.2 ἐλθὼν λάβοι φράσαις ἄν;
511.1 (Κν) οὐκ ἐγὼ ’λεγον;
511.2 ἔτι μοι λαλήσεις;
512 (Σι) χαῖρε πολλά.
512.1 (Κν) οὐ βούλομαι
512.2 χαίρειν παρ’ ὑμῶν οὐδενός.
513.1 (Σι) μὴ χαῖρε δή.
513.2 (Κν) ὢ τῶν ἀνηκέστων κακῶν.
514 (Σι) καλῶς γέ με
515.1 βεβωλοκόπηκεν. οἷόν ἐστ’ ἐπιδεξίως
515.2 αἰτεῖν· διαφέρει νὴ Δί’. ἐφ’ ἑτέραν θύραν
515.3 ἔλθηι τις; ἀλλ’ εἰ σφαιρομαχοῦς’ ἐν τῶι τόπωι
515.4 οὕτως ἑτοίμως, χαλεπόν. ἆρά γ’ ἐστί μοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κράτιστον ὀπτᾶν τὰ κρέα πάντα; φαίνεται.
ἔστιν δέ μοι λοπάς τις. ἐρρῶσθαι λέγω
Φυλασίοις. τοῖς οὖσι τούτοις χρήσομαι.
(Σω) ὅστις ἀπορεῖ κακῶν, ἐπὶ Φυλὴν ἐλθέτω
κυνηγέτης. ὢ τρισκακοδαίμων, ὡς ἔχω ὀσφῦν, μετάφρενον, τὸν τράχηλον, ἑνὶ λόγωι
ὅλον τὸ σῶμ’· εὐθὺς γὰρ ἐμπεσὼν πολύς,
νεανίας ἐγώ τις, ἐξαίρων ἄνω
σφόδρα τὴν δίκελλαν, ὡς ἂν ἐργάτης, βαθὺ
ἔπαιον. ἐπεκείμην φιλοπόνως, οὐ πολὺν
χρόνον. εἶτα καὶ μετεστρεφόμην τι, πηνίκα
ὁ γέρων πρόσεισι τὴν κόρην ἄγων ἅμα
σκοπούμενος. καὶ νὴ Δί’ ἐλαβόμην τότε
τῆς ὀσφύος, λάθραι τὸ πρῶτον· ὡς μακρὸν
ἦν παντελῶς δὲ τοῦτο, λορδοῦν ἠρχόμην,
ἀπεξυλούμην ἀτρέμα δ’. οὐδεὶς ἤρχετο.
ὁ δ’ ἥλιος κατέκα’, ἑώρα τ’ ἐμβλέπων
ὁ Γοργίας ὥσπερ τὰ κηλώνειά με
μόλις ἀνακύπτοντ’ εἶθ’ ὅλωι τῶι σώματι
πάλιν κατακύπτοντ’. “οὐ δοκεῖ μοι νῦν”, ἔφη,
“ἥξειν ἐκεῖνος, μειράκιον.” “τί οὖν,” ἐγὼ
εὐθύς, “ποῶμεν; αὔριον τηρήσομεν
αὐτόν, τὸ δὲ νῦν ἐῶμεν;” ὅ τε Δᾶος παρῆν
ἐπὶ τὴν σκαπάνην διάδοχος. ἡ πρώτη μὲν οὖν
ἔφο]δος τοιαύτη γέγονεν. ἥκω δ’ ἐνθάδε,
διὰ τί μὲν οὐκ ἔχω λέγειν μὰ τοὺς θεούς,
ἕλκ]ει δέ μ’ αὐτόματον τὸ πρᾶγμ’ εἰς τὸν τόπον.
Γε τί τὸ κακόν; οἴει χεῖρας ἑξήκοντά με,
ἄνθρωπ’, ἔχειν; τοὺς ἄνθρακάς σοι ζωπυρῶ
[ ]μαι, φέρω πλύνω κατατέμνω σπλάγχν’ ἅμα
μάττω περιφέρω τα.[........ ο]υτονί, ὑπὸ τοῦ καπνοῦ τυφλὸς [......]ς τούτοις ὅλος.
ἄγειν δοκῶ μοι τὴν ἑορτήν.
Σω παῖ Γέτα.
Γε ἐμὲ τίς;
(Σω) ἐγώ.
(Γε) σὺ δ’ εἶ τίς;
(Σω) οὐχ ὁρᾶις;
(Γε)ὁρῶ·
τρόφιμος.

(Σω) τί ποιεῖτ’ ἐνθάδ’, εἰπέ μοι;
553.1 (Γε) τί γάρ;
553.2 τεθύκαμεν ἄρτι καὶ παρασκευάζομεν
555 ἄριστον ὑμῖν.
555 (Σω) ἐνθάδ’ ἡ μήτηρ;
555.1 (Γε) πάλαι.
555.2 (Σω) ὁ πατὴρ δέ;
556.1 (Γε) προσδοκῶμεν. ἀλλὰ πάραγε σύ.
556.2 (Σω) μικρὸν διαδραμών 〈γ’〉. ἐνθαδὶ τρόπον τινὰ
556.3 γέγον’ οὐκ ἄκαιρος ἡ θυσία· παραλήψομαι
556.4 τὸ μειράκιον τουτὶ γάρ, ἐλθὼν ὡς ἔχω,
560.1 καὶ τὸν θεράποντ’ αὐτοῦ· κεκοινωνηκότες
560.2 ἱερῶν γὰρ εἰς τὰ λοιπὰ χρησιμώτεροι
560.3 ἡμῖν ἔσονται σύμμαχοι πρὸς τὸν γάμον.
560.4 (Γε) τί φῄς; ἐπ’ ἄριστόν τινας παραλαμβάνειν
560.5 μέλλεις πορευθείς; ἕνεκ’ ἐμοῦ τρισχίλιοι
565.1 γένοισθ’· ἐγὼ μὲν γὰρ πάλαι τοῦτ’ οἶδ’, ὅτι
565.2 οὐ γεύσομ’ οὐδενός· πόθεν γάρ; συνάγετε
565.3 πάντας. καλὸν γὰρ τεθύκαθ’ ἱερεῖον, πάνυ
565.4 ἄξιον ἰδεῖν. ἀλλὰ 〈τὰ〉 γύναια ταῦτά μοι
565.5 (ἔχει γὰρ ἀστείως) μεταδοίη γ’ ἄν τινος;
570 οὐδ’ ἄν, μὰ τὴν Δήμητρ’, ἁλὸς πικροῦ.
570.1 (Σω) καλῶς ἔσται, Γέτα, τὸ τήμερον—μαντεύσομαι
570.2 τοῦτ’ αὐτός, ὦ Πάν· ἀλλὰ μὴν προσεύχομαι
570.3 ἀεὶ παριών σοι—καὶ φιλανθρωπεύσομαι.
570.4 ΣΙΜΙΧΗ
574 ὢ δυστυχής, ὢ δυστυχής, ὢ δυστυχής.
575.1 (Γε) ἄπαγ’ εἰς τὸ βάραθρον· τοῦ γέροντός τις γυνὴ
575.2 προελήλυθεν.
576.1 (Σιμ) τί πείσομαι; τὸν γὰρ κάδον
576.2 ἐκ τοῦ φρέατος βουλομένη τοῦ δεσπότου,
576.3 εἴ πως δυναίμην, ἐξελεῖν αὐτὴ λάθραι,
576.4 ἀνῆψα τὴν δίκελλαν ἀσθενεῖ τινι
580.1 καλωιδίωι σαπρῶι διερράγη τέ μοι
580.2 τοῦτ’ εὐθύς.
581 〈Γε〉 ὀρθῶς.
581.1 〈Σιμ〉 ἐνσέσεικα θ’ ἁθλία
581.2 καὶ τὴν δίκελλαν εἰς τὸ φρέαρ μετὰ τοῦ κάδου.
581.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Γε ῥῖψαι τὸ λοιπόν σοι σεαυτήν ἐστ’ ἔτι.
581.4 (Σιμ) ὁ δ’, ἀπὸ τύχης κόπρον τιν’ ἔνδον κειμένην
585.1 μέλλων μεταφέρειν, περιτρέχων ταύτην πάλαι
585.2 ζητεῖ βοᾶι τε—καὶ ψοφεῖ γε τὴν θύραν.
585.3 Γε φεῦγ’ ὦ πονηρά, φεῦγ’. ἀποκτενεῖ σε, γραῦ.
585.4 μᾶλλον δ’ ἀμύνου.
588.1 Κν ποῦ ’στιν ἡ τοιχωρύχος;
588.2 (Σιμ) ἄκουσα, δέσποτ’, ἐνέβαλον.
589 (Κν) βάδιζε δὴ
590 εἴσω.
590 (Σιμ) τί ποιεῖν δ’, εἰπέ μοι, μέλλεις;
590.1 (Κν) ἐγώ;
590.2 δήσας καθιμήσω σε.
591.1 (Σιμ) μὴ δῆτ’, ὦ τάλαν. (Κν) ταὐτῶι γε τούτωι σχοινίωι, νὴ τοὺς θεούς.
591.2 〈Γε〉 κράτιστον, εἴπερ ἐστὶ παντελῶς σαπρόν.
591.3 (Σιμ) τὸν Δᾶον ἐκ τῶν γειτόνων ἐγὼ καλῶ;
595.1 (Κν) Δᾶον καλεῖς, ἀνόσι’, ἀνηιρηκυῖά [με;
595.2 οὔ σοι λέγω; θᾶττον βάδιζ’ εἴσω. [τάλας
595.3 ἐγώ, τάλας τῆς νῦν ἐρημίας [
595.4 ὡς οὐδὲ εἷς. καταβήσομ’ εἰ[ς τὸ φρέαρ· τί γὰρ
595.5 ἔτ’ ἐστιν ἄλλο;
599.1 (Γε) ἡμεῖς ποριοῦ[μεν ἁρπάγην καὶ σχοινίον. (Κν) κακὸν κάκ[ιστά ς’ οἱ θεοὶ
599.2 ἅπαντες ἀπολέσειαν εἴ τι μ[οι λαλεῖς.
599.3 (Γε) καὶ μάλα δικ[αίως. εἰσ]πεπήδηκεν πάλιν.
599.4 ὢ τρισκακοδα[ίμων οὗ]τος· οἷον ζῆι βίον.
599.5 τοῦτ’ ἐστὶν εἰλικρ[ινὴς] γεωργὸς Ἀττικός·
605.1 πέτραις μαχόμενος θύμα φερούσαις καὶ σφάκον
605.2 ὀδύνας ἐπισπᾶτ’ οὐδὲν ἀγαθὸν λαμβάνων.
605.3 ἀλλ’ ὁ τρόφιμος γὰρ οὑτοσὶ προσέρχεται
605.4 ἄγων μεθ’ αὑτοῦ τοὺς ἐπικλήτους· ἐργάται
605.5 ἐκ τοῦ τόπου τινές εἰσιν. ὢ τῆς ἀτοπίας.
610.1 οὗτος τί τούτους δεῦρ’ ἄγει νῦν; ἢ πόθεν
610.2 γεγονὼς συνήθης;
611.1 Σω οὐκ ἂν ἐπιτρέψαιμί σοι
611.2 ἄλλως ποῆσαι. πάντ’ ἔχομεν. ὦ Ἡράκλεις,
611.3 τουτὶ δ’ ἀπαρνεῖταί τις ἀνθρώπων ὅλως, ἐλθεῖν ἐπ’ ἄριστον συνήθους τεθυκότος;
615.1 εἰμὶ γάρ, ἀκριβῶς ἴσθι, σοὶ πάλαι φίλος
615.2 πρὶν ἰδεῖν. λαβὼν ταῦτ’ εἰσένεγκε Δᾶε σύ,
615.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶθ’ ἧκε.
617.1 Γο μηδαμῶς μόνην τὴν μητέρα
617.2 οἴκοι καταλείπων ἀλλ’ ἐκείνης ἐπιμελοῦ
617.3 ὧν ἂν δέηται· ταχὺ δὲ κἀγὼ παρέσομαι.
619 ΧΟΡΟΥ
620.1 Σιμ τίς ἂν βοηθήσειεν; ὢ τάλαιν’ ἐγώ.
620.2 τίς ἂν βοηθήσειεν;
621.1 Σικ Ἡράκλεις ἄναξ,
621.2 ἐάσαθ’ ἡμᾶς πρὸς θεῶν καὶ δαιμόνων
621.3 σπονδὰς ποῆσαι. λοιδορεῖσθε, τύπτετε·
621.4 οἰμώζετ’· ὢ τῆς οἰκίας τῆς ἐκτόπου.
625 (Σιμ) ὁ δεσπότης ἐν τῶι φρέατι.
625 Σικ πῶς;
625.1 (Σιμ) ὅπως;
625.2 ἵνα τὴν δίκελλαν ἐξέλοι καὶ τὸν κάδον,
625.3 κατέβαινε, κᾆιτ’ ὤλισθ’ ἄνωθεν, ὥστε καὶ
625.4 πέπτωκεν.
628.1 (Σικ) οὐ γὰρ ὁ χαλεπὸς γέρων σφόδρα
628.2 οὗτος; καλά γ’ ἐπόησε νὴ τὸν Οὐρανόν.
630 ὦ φιλτάτη γραῦ, νῦν σὸν ἔργον ἐστί.
630.1 (Σιμ) πῶς;
630.2 (Σικ) ὅλμον τιν’ ἢ λίθον τιν’ ἢ τοιοῦτό τι
630.3 ἄνωθεν ἔνσεισον λαβοῦσα.
632.1 (Σιμ) φίλτατε
632.2 κατάβα.
633 〈Σικ〉 Πόσειδον, ἵνα τὸ τοῦ λόγου πάθω, ἐν τῶι φρέατι κυνὶ μάχωμαι; μηδαμῶς.
635 (Σιμ) ὦ Γοργία, ποῦ γῆς ποτ’ εἶ;
635.1 (Γο) ποῦ γῆς ἐγώ;
635.2 τί ἐστί, Σιμίχη;
636.1 (Σιμ) τί γάρ; πάλιν λέγω·
636.2 ὁ δεσπότης ἐν τῶι φρέατι.
637.1 Γο Σώστρατε,
637.2 ἔξελθε δεῦρ’· ἡγοῦ, βάδιζ’ εἴσω ταχύ.
637.3 Σικ εἰσὶν θεοί, μὰ τὸν Διόνυσον. οὐ δίδως
640.1 λεβήτιον θύουσιν, ἱερόσυλε σύ,
640.2 ἀλλὰ φθονεῖς· ἔκπιθι τὸ φρέαρ εἰσπεσών,
640.3 ἵνα μηδ’ ὕδατος ἔχῃς μεταδοῦναι μηδενί.
640.4 νυνὶ μὲν αἱ Νύμφαι τετιμωρημέναι
640.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἴς’ αὐτὸν ὑπὲρ ἐμοῦ δικαίως· οὐδὲ εἷς
μάγειρον ἀδικήσας ἀθῶιος διέφυγεν.
ἱεροπρεπής πως ἐστὶν ἡμῶν ἡ τέχνη.
[ ]ς τραπεζοποιὸν ὅ τι βούλει πόει.
ἀλλ’ ἆ]ρα μὴ τέθνηκεν; πάππαν φίλτατον
κλάο]υς’ ἀποιμώζει τις. οὐδὲν τοῦτό γε
(desunt uersus fere iv)
δηλονότι καθ[
οὕτως ἀνιμησ[
τὴν ὄψιν αὐτοῦ τιν[
οἴεσθ’ ἔσεσθαι, πρὸς θεῶν, βεβ[αμ]μένου,
τρέμοντος; ἀστείαν. ἐγὼ μὲν ἡδέως
ἴδοιμ’ ἄν, ἄνδρες, νὴ τὸν Ἀπόλλω τουτονί.
ὑμεῖς δ’ ὑπὲρ τούτων, γυναῖκες, σπένδετε.
εὔχεσθε τὸν γέροντα σωθῆναι—κακῶς,
ἀνάπηρον ὄντα, χωλόν· οὕτω γίνεται
ἀλυπότατος γὰρ τῶιδε γείτων τῶι θεῶι
καὶ τοῖς ἀεὶ θύουσιν. ἐπιμελὲς δέ μοι
τοῦτ’ ἐστίν, ἄν τις ἆρα μισθώσητ’ ἐμέ.
(Σω) ἄνδρες, μὰ τὴν Δήμητρα, μὰ τὸν Ἀσκληπιόν,
μὰ τοὺς θεούς, οὐπώποτ’ ἐν τὠμῶι βίωι
εὐκαιρότερον ἄνθρωπον ἀποπεπνιγμένον
ἑόρακα μικροῦ. τῆς γλυκείας διατριβῆς·
ὁ Γοργίας γάρ, ὡς τάχιστ’ εἰσήλθομεν,
εὐθὺς κατεπήδης’ εἰς τὸ φρέαρ, ἐγὼ δὲ καὶ
ἡ παῖς ἄνωθεν οὐδὲν ἐποοῦμεν· τί γὰρ
ἐμέλλομεν; πλὴν ἡ μὲν αὑτῆς τὰς τρίχας
ἔτιλλ’, ἔκλα’, ἔτυπτε τὸ στῆθος σφόδρα,
ἐγὼ δ’ ὁ χρυσοῦς, ὡσπερεὶ νὴ τοὺς θεοὺς
τροφὸς παρεστώς, ἐδεόμην γε μὴ ποεῖν
τοῦθ’, ἱκέτευον, ἐμβλέπων ἀγάλματι
οὐ τῶι τυχόντι. τοῦ δὲ πεπληγμένου κάτω
ἔμελεν ἔλαττον ἤ τινός μοι, πλὴν ἀεὶ
ἕλκειν ἐκεῖνον· τοῦτ’ ἐνώχλει μοι σφόδρα.
μικροῦ γε νὴ Δί’ αὐτὸν εἰσαπολώλεκα·
τὸ σχοινίον γὰρ ἐμβλέπων τῆι παρθένωι
ἀφῆκ’ ἴσως τρίς. ἀλλ’ ὁ Γοργίας Ἄτλας
ἦν οὐχ ὁ τυχών· ἀντεῖχε καὶ μόλις ποτὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνενήνοχ’ αὐτόν. ὡς ἐκεῖνος ἐξέβη
685.2 δεῦρ’ ἐξελήλυθ’· οὐ γὰρ ἐδυνάμην ἔτι
685.3 κατέχειν ἐμαυτόν, ἀλλὰ μικροῦ [τὴν κόρην
685.4 ἐφίλουν προσιών· οὕτω σφόδρ’ ε[ ἐρῶ. παρασκευάζομαι δή—τὴν θύραν
690.1 ψοφοῦσιν. ὦ Ζεῦ Σῶτερ, ἐκτόπου θέας.
690.2 Γο βούλει τι, Κνήμων; εἰπέ μοι.
691.1 (Κν) τί [
691.2 φαύλως ἔχω.
692 (Γο) θάρρει.
692.1 (Κν) τεθάρ[ρηκ’. οὐκέτι
692.2 ὑμῖν ἐνοχλήσει τὸν ἐπίλοιπον γὰ[ρ χρόνον
692.3 Κνήμων.
694 (Γο) τοιοῦτόν ἐστ’ ἐρημία κακόν,
695.1 ὁρᾶις; ἀκαρὴς νῦν παραπόλωλας ἀρτίως.
695.2 τηρούμενον δὴ τηλικοῦτον τῶι βίωι
695.3 ἤδη καταζῆν δεῖ.
697.1 (Κν) χαλεπῶς μὲν οἶδ’ ὅτι
697.2 ἔχω, κάλεσον δέ, Γοργία, τὴν μητέρα,
697.3 ὡς ἔνι μάλιστα. τὰ κακὰ παιδεύειν μόνα ἐπίσταθ’ ἡμᾶς ὡς ἔοικε. θυγάτριον,
697.4 βούλει μ’ ἀναστῆσαι λαβοῦσα;
701.1 Σω μακάριε
701.2 ἄνθρωπε.
702 (Κν) τί παρέστηκας ἐνταῦθ’, ἄθλι[ε;
702 (desunt uersus v)
708.1 [ ]εσοις ἐβουλόμην
708.2 [ Μυρ]ρίνη καὶ Γοργία,
710.1 ε.[]ον προειλόμην
710.2 οὐκ ἴσως [....]ι κ[.]ι[.]ν οὐδ’ ἂν εἷς δύναιτό με
710.3 τοῦτο μεταπεῖσαί τις ὑμῶν, ἀλλὰ συγχωρήσετε. ἓν δ’ ἴσως ἥμαρτον ὅστις τῶν ἁπάντων ὠιόμην
710.4 αὐτὸς αὐτάρκης τις εἶναι καὶ δεήσεσθ’ οὐδενός.
715.1 νῦν δ’ ἰδὼν ὀξεῖαν οὖσαν ἄσκοπόν τε τοῦ βίου
715.2 τὴν τελευτήν, εὗρον οὐκ εὖ τοῦτο γινώσκων τότε.
715.3 δεῖ γὰρ εἶναι—καὶ παρεῖναι—τὸν ἐπικουρήσοντ’ ἀεί.
715.4 ἀλλὰ μὰ τὸν Ἥφαιστον—οὕτω σφόδρα 〈δι〉 εφθάρμην ἐγὼ
715.5 τοὺς βίους ὁρῶν ἑκάστους τοὺς λογισμούς 〈θ’〉 ὃν τρόπον
720.1 πρὸς τὸ κερδαίνειν ἔχουσιν—οὐδέν’ εὔνουν ὠιόμην
720.2 ἕτερον ἑτέρωι τῶν ἁπάντων ἂν γενέσθαι. τοῦτο δὴ
720.3 ἐμποδὼν ἦν μοι. μόλις δὲ πεῖραν εἷς δέδωκε νῦν
720.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Γοργίας, ἔργον ποήσας ἀνδρὸς εὐγενεστάτου·
τὸν γὰρ οὐκ ἐῶντά 〈τ' α〉ὐτὸν προσιέναι 〈καὶ〉 τῆι θύραι
οὐ βοηθήσαντά 〈τ' α〉ὐτῶι πώποτ' εἰς οὐδὲν μέρος,
οὐ προσειπόντ', οὐ λαλήσανθ' ἡδέως, σέσωχ' ὅμως.
ὅπερ ἂν ἄλλος καὶ δικαίως· "οὐκ ἐᾶις με προσιέναι·
οὐ προσέρχομ'· οὐδὲν ἡμῖν γέγονας αὐτὸς χρήσιμος·
οὐδ' ἐγὼ σοὶ νῦν." τί δ' ἐστί, μειράκιον; ἐάν 〈τ'〉 ἐγὼ
ἀποθάνω νῦν—οἴομαι δέ, καὶ κακῶς ἴσως ἔχω—
ἄν τε περι〈σωθ〉ῶ, ποοῦμαί σ' ὑόν, ἅ τ' ἔχων τυγχάνω
πάντα σαυτοῦ νόμισον εἶναι. τήνδε σοι παρεγγυῶ·
ἄνδρα δ' αὐτῆι πόρισον. εἰ γὰρ καὶ σφόδρ' ὑγιαίνοιμ' ἐγώ,
αὐτὸς οὐ δυνήσομ' εὑρεῖν· οὐ γὰρ ἀρέσει μοί ποτε
οὐδὲ εἷς. ἀλλ' ἐμὲ μέν, 〈ἂν ζῶ〉, ζῆν ἐᾶθ' ὡς βούλομαι, τἆλλα πρᾶττ' αὐτὸς παραλαβών. νοῦν ἔχεις σὺν τοῖς θεοῖς,
κηδεμὼν εἶ τῆς ἀδελφῆς εἰκότως. τοῦ κτήματος
ἐπιδίδου 〈σὺ〉 προῖκα τοὐμοῦ διαμετρήσας 〈θ〉ἥμισυ,
τὸ δ' ἕτερον λαβὼν διοίκει κἀμὲ καὶ τὴν μητέρα.
ἀλλὰ κα]τάκλινόν με, θύγατερ. τῶν δ' ἀναγκαίων λέγειν
πλείον'] οὐκ ἀνδρὸς νομίζω· πλὴν ἐκεῖνό γ' ἴσθι, παῖ—
ὑπὲρ ἐ]μοῦ γὰρ βούλομ' εἰπεῖν ὀλίγα σοι καὶ τοῦ τρόπου—
εἰ τοιοῦτ]οι πάντες ἦσαν, οὔτε τὰ δικαστήρια
ἦν ἄν, οὔθ' αὑτοὺς ἀπῆγον εἰς τὰ δεσμωτήρια,
οὔτε πόλεμος ἦν, ἔχων δ' ἂν μέτρι' ἕκαστος ἠγάπα.
ἀλλ' ἴσως ταῦτ' ἐστ' ἀρεστὰ μᾶλλον· οὕτω πράττετε.
ἐκποδὼν ὑμῖν 〈ὁ〉 χαλεπὸς δύσκολός τ' ἔσται γέρων.
(Γο) ἀλλὰ δέχομαι ταῦτα πάντα. δεῖ δὲ μετὰ σοῦ νυμφίον
ὡς τάχισθ' εὑρεῖν 〈τιν'〉 ἡμᾶς τῆι κόρηι, σοὶ συνδοκοῦν. Κν οὗτος, εἴρηχ' ὅς' ἐφρόνουν σοι· μὴ 'νόχλει, πρὸς τῶν θεῶν.
Γο βούλεται γὰρ ἐντυχεῖν σοι—
(Κν) μηδαμῶς, πρὸς τῶν θεῶν.
(Γο) τὴν κόρην αἰτῶν τις.
(Κν) οὐδὲν ἔτι 〈τοιοῦτό〉 μοι μέλει.
(Γο) ὅ 〈σε〉 συνεκσώσας.
(Κν) ὁ ποῖος;
(Γο) οὑτοσί. πρόσελθε σύ.
(Κν) ἐπικέκαυται μέν. γεωργός ἐστι;
(Γο) καὶ μάλ', ὦ πάτερ.
οὐ τρυφῶν οὐδ' οἷος ἀργὸς περιπατεῖν τὴν ἡμέραν [ ].γενος ..[
[ ]σδίδου ποεῖ 〈τε〉 του[

Eulogikon public reading copy · View original HTML at eulogikon.org

755.3 [Κν] εἰσκυ]κλεῖτ’ εἴσω με.
758.1 (?) καὶ[
758.2 ἐπιμ]ελοῦ τούτου. τὸ λο[ιπὸν] ἐγγυᾶν[
760 τὴν] ἀδελφήν.
760.1 (Γο) ἐπανένεγκε ταῦτα, [Σ]ώστ[ραθ’, οἷς σε δεῖ.
760.2 [Σω] οὐ[δ]ὲν ὁ πατὴρ ἀντερεῖ [μοι].
761.1 (Γο) τοιγαροῦν ἔγωγέ σοι
761.2 ἐγγυῶ δίδωμι πάντων τῶν θεῶν ἐναντίον
761.3 ενεγκεινος δίκαιόν ἐστι π.[.]θη, Σώστρατε.
761.4 οὐ πεπλασμένωι γὰρ ἤθει πρὸς τὸ πρᾶγμ’ ἐλήλυθας,
765.1 ἀλλ’ ἁπλῶς, καὶ πάντα ποιεῖν ἠξίωσας τοῦ γάμου
765.2 ἕνεκα, τρυφερὸς ὢν δίκελλαν ἔλαβες, ἔσκαψας, πονεῖν
765.3 ἠθέλησας. ἐν δὲ τούτωι τῶι μέρει μάλιστ’ ἀνὴρ
765.4 δείκνυτ’, ἐξισοῦν ἑαυτὸν ὅστις ὑπομένει τινὶ
765.5 εὔπορῶν πένητι· καὶ γὰρ μεταβολὰς οὗτος τύχ[ης
770.1 ἐγκρατῶς οἴσει. δέδωκας πεῖραν ἱκανὴν τοῦ τρόπου.
770.2 διαμένοις μόνον τοιοῦτος.
771.1 (Σω) πολὺ μὲν οὖν κρείττω[ν ἔτι.
771.2 ἀλλ’ ἐπαινεῖν αὐτόν ἐστι φορτικόν ⟨τι⟩ πρᾶγμ’ ἴσως.
771.3 εἰς καλὸν δ’ ὁρῶ παρόντα τὸν πατέρα.
773.1 (Γο) Καλλιππίδης
773.2 ἐστὶ σοῦ πατήρ;
774 (Σω) πάνυ μὲν οὖν.
774 (Γο) νὴ Δία πλούσιός γ’ ἀνήρ,
775 ⟨καὶ⟩ δικαίως ⟨γ’ ὢσ⟩ γεωργὸς ἄμαχος.
775.1 ΚΑΛΛΙΠΠΙΔΗΣ ἀπολέλειμμ’ ἴσως.
775.2 ⟨οἱ δὲ⟩ καταβεβρωκότες δὴ τὸ πρόβατον φροῦδοι πάλαι εἰσὶν εἰς ἀγρόν.
777.1 Γο Πόσειδον, ὀξυπείνως πως ἔχει.
777.2 αὐτίκ’ αὐτῶι ταῦτ’ ἐροῦμεν;
778.1 (Σω) πρῶτον ἀριστησάτω·
778.2 πραότερος ἔσται.
779 (Κα) τί τοῦτο, Σώστρατ’; ἠριστήκατε;
780 ⟨Σω⟩ ἀλλὰ καὶ σοὶ παραλέλειπται. πάραγε.
780.1 (Κα) τοῦτο δὴ ποῶ.
780.2 Γο εἰσιὼν αὐτῶι λαλεῖ ⟨νῦν⟩, εἴ τι βούλει τῶι πατρὶ
780.3 κατὰ μόνας.
782 (Σω) ἔνδον περιμενεῖς, οὐ γάρ;
782.1 (Γο) οὐκ ἐξέρχομαι
782.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔνδοθεν.
783 (Σω) μικρὸν διαλιπὼν παρακαλῶ τοίνυν 〈σ’〉 ἐγώ.
783.1 ΧΟΡΟΥ
783.2 Σω οὐχ ὡς ἐβουλόμην ἅπαντά μοι, πάτερ,
785 οὐδ’ ὡς προσεδόκων γίνεται παρὰ σοῦ.
785.1 (Κα) τί δέ;
785.2 οὐ συγκεχώρηχ’; ἧς ἐρᾶις σε λαμβάνειν
785.3 καὶ βούλομαι καί φημι δεῖν.
787.1 (Σω) οὔ μοι δοκεῖς.
787.2 (Κα) νὴ τοὺς θεοὺς ἔγωγε, γινώσκων ὅτι
787.3 νέωι γάμος βέβαιος οὕτως γίνεται
790.1 ἐὰν δι’ ἔρωτα τοῦτο συμπεισθῆι ποεῖν.
790.2 (Σω) ἔπειτ’ ἐγὼ μὲν τὴν ἀδελφὴν λήψομαι
790.3 τὴν τοῦ νεανίσκου, νομίζων ἄ[ξιον ἡμῶν ἐκεῖνον· πῶς δὲ τοῦτο νῦ[ν σὺ φήις,
790.4 οὐκ ἀντιδώσειν τὴν ἐμήν;
794 (Κα) αἰσχρὸν λέγεις;
795.1 νύμφην γὰρ ἅμα καὶ νυμφίον πτωχοὺς λαβεῖν
795.2 οὐ βούλομ’, ἱκανὸν δ’ ἐστὶν ἡμῖν θάτερον.
795.3 (Σω) περὶ χρημάτων λαλεῖς, ἀβεβαίου πράγματος.
795.4 εἰ μὲν γὰρ οἶσθα ταῦτα παραμενοῦντά σοι
795.5 εἰς πάντα τὸν χρόνον, φύλαττε μηδενὶ τοῦ σοῦ μεταδιδούς· ὧν δὲ μὴ σὺ κύριος
795.6 εἶ, μηδὲ σαυτοῦ τῆς τύχης δὲ πάντ’ ἔχεις,
795.7 μή τι φθονοίης, ὦ πάτερ, τούτων τινί.
795.8 αὕτη γὰρ ἄλλωι, τυχὸν ἀναξίωι τινί,
795.9 παρελομένη σοῦ πάντα προσθήσει πάλιν.
805.1 διόπερ ἐγώ σε φημὶ δεῖν, ὅσον χρόνον
805.2 εἶ κύριος, χρῆσθαι σε γενναίως, πάτερ,
805.3 αὐτόν, ἐπικουρεῖν πᾶσιν, εὐπόρους ποεῖν
805.4 ὡς ἂν δύνηι πλείστους διὰ σαυτοῦ. τοῦτο γὰρ
805.5 ἀθάνατόν ἐστι, κἄν ποτε πταίσας τύχηις,
810.1 ἐκεῖθεν ἔσται ταὐτὸ τοῦτό σοι πάλιν.
810.2 πολλῶι δὲ κρεῖττόν ἐστιν ἐμφανὴς φίλος
810.3 ἢ πλοῦτος ἀφανής, ὃν σὺ κατορύξας ἔχεις.
810.4 Κα οἶσθ’ οἷός εἰμι, Σώστραθ’· ἃ συνελεξάμην
810.5 οὐ συγκατορύξω ταῦτ’ ἐμαυτῶι—πῶς γὰρ ἄν; —
815.1 σὰ δ’ ἐστί. βούλει περιποήσασθαί τινα
815.2 φίλον δοκιμάσας· πρᾶττε τοῦτ’ ἀγαθῆι τύχηι. τί μοι λέγεις γνώμας; πόριζε βάδιζε
815.3 δίδου, μεταδίδου· συμπέπεισμαι πάντα σοι
815.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑκών.
(Σω) ἑκών;
〈Κα〉 εὖ ἴσθι· μηδὲν τοῦτό σε
ταραττέτω.
(Σω) τὸν Γοργίαν τοίνυν καλῶ.
Γο ἐπακήκο’ ὑμῶν ἐξιὼν πρὸς τῆι θύραι
ἅπαντας οὓς εἰρήκατ’ ἐξ ἀρχῆς λόγους.
τί οὖν; ἐγώ σ〈ε, Σ〉ώστρατ’, εἶναι μὲν φίλον
ὑπολαμβάνω σπουδαῖον ἀγαπῶ τ’ ἐκτόπως,
μείζω δ’ ἐμαυτοῦ πράγματ’ οὔτε βούλομαι
οὔτ’ ἂν δυναίμην μὰ Δία βουληθεὶς φέρειν.
(Σω) οὐκ οἶδ’ ὅ τι λέγεις.
(Γο) τὴν ἀδελφὴν τὴν ἐμὴν
δίδωμί σοι γυναῖκα, τὴν δὲ σὴν λαβεῖν—
καλῶς ἔχει μοι.
(Σω) πῶς καλῶς;
(Γο) οὐχ ἡδύ μοι
εἶναι τρυφαίνειν ἀλλοτρίοις πόνοις δοκεῖ,
συλλεξάμενον δ’ αὐτόν.
(Σω) φλυαρεῖς, Γοργία.
οὐκ ἄξιον κρίνεις σεαυτὸν τοῦ γάμου.
(Γο) ἐμαυτὸν εἶναι κέκρικ’ ἐκείνης ἄξιον,
λαβεῖν δὲ πολλὰ μίκρ’ ἔχοντ’ οὐκ ἄξιον.
Κα νὴ τὸν Δία τὸν μέγιστον εὐγενῶς γέ πως
[ ]ος εἶ.
(Γο) πῶς;
(Κα) οὐκ ἔχων βούλει δοκεῖν
[ ]ἐπειδὴ συμπεπεισμένον μ’ ὁρᾶις [ ]ε τούτωι μ’ ἀναπέπεικας· διπλασίως
[ ]ων πένης 〈 〉 ἀπόπληκτός θ’ ἅμα
[ ]ς ὑποδείκνυσιν εἷς σωτηρίαν.
[Σω ].λοιπόν ἐστιν ἡμῖν ἐγγυᾶν.
(Κα) ἀλλ’ ἐγγυῶ παίδων ἐπ’ ἀρότωι γνησίων
τὴν θυγατέρ’ ἤδη μειράκιόν σοι προῖκά τε
δίδωμ’ ἐπ’ αὐτῆι τρία τάλαντα.
(Γο) ἐγὼ δέ γε
ἔχω τάλαντον προῖκα τῆς ἑτέρας.
(Κα) ἔχεις;
μὴ δῶις σὺ λίαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Γο) ἀλλ’ ἔχω τὸ χωρίον.
846.2 ⟨Κα⟩ κέκτης’ ὅλον σύ, Γοργία. τὴν μητέρα
846.3 ἤδη σὺ δεῦρο τήν τ’ ἀδελφὴν μετάγαγε
846.4 πρὸς τὰς γυναῖκας τὰς παρ’ ἡμῖν.
849.1 (Γο) ἀλλὰ χρή. (Σω) τὴν νύκτα [
849.2 πάντες μεν[ το]ὺς γάμους
849.3 ποήσομεν. καὶ τὸν γέροντα, Γοργία,
849.4 κομίσατε δεῦρ’· ἕξει τὰ δέοντ’ ἐνταῦθ’ ἴσως
849.5 μᾶλλον παρ’ ἡμῖν.
854 (Γο) οὐκ ἐθελήσει, Σώστρατε.
855 (Σω) σύμπεισον αὐτόν.
855 (Γο) ἂν δύνωμαι.
855.1 (Σω) δεῖ πότον
855.2 ἡμῶν γενέσθαι, παππία, νυνὶ καλόν,
855.3 καὶ τῶν γυναικῶν παννυχίδα.
857.1 (Κα) τοὐναντίον
857.2 πίοντ’ ἐκεῖναι, παννυχιοῦμεν οἶδ’ ὅτι
857.3 ἡμεῖς. παράγων δ’ ὑμῖν ἑτοιμάσω τι νῦν
860 προὔργου.
860.1 Σω πόει τοῦτ’· οὐδενὸς χρὴ πράγματος
860.2 τὸν εὖ φρονοῦνθ’ ὅλως ἀπογνῶναί ποτε.
860.3 ἁλωτὰ γίνετ’ ἐπιμελείαι καὶ πόνωι
860.4 ἅπαντ’. ἐγὼ τούτου παράδειγμα νῦν φέρω·
860.5 ἐν ἡμέραι μιᾶι κατείργασμαι γάμον
865.1 ⟨ὃν⟩ οὐδ’ ἂν εἷς ποτ’ ὤιετ’ ἀνθρώπων ὅλως.
865.2 Γο προάγετε δὴ θᾶττόν ποθ’ ὑμεῖς.
866.1 Σω δεῦτε δή.
866.2 μῆτερ, δέχου ταύτας. ὁ Κνήμων δ’ οὐδέπω;
866.3 (Γο) ὃς ἱκέτευεν ἐξαγαγεῖν τὴν γραῦν ἔτι,
866.4 ἵν’ ἦι τελέως μόνος καθ’ αὑτόν;
869 (Σω) ὢ τρόπου
870 ἀμάχου.
870 (Γο) τοιοῦτος.
870.1 ⟨Σω⟩ ἀλλὰ πολλὰ χαιρέτω.
870.2 ἡμεῖς δ’ ἴωμεν.
871.1 (Γο) Σώστραθ’, ὑπεραισχύνομαι
871.2 γυναιξὶν ἐν ταὐτῶι—
872.1 (Σω) τίς ὁ λῆρος; οὐ πρόει;
872.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἰκεῖα ταῦτ’ ἤδη νομίζειν πάντα δεῖ.
872.3 Σιμ ἄπειμι νὴ τὴν Ἄρτεμιν κἀγώ. μόνος
875.1 ἐνταῦθα κατακείσει. τάλας σὺ τοῦ τρόπου.
875.2 πρὸς τὸν θεόν σε βουλομένων [τούτων ἄγειν
875.3 ἀντεῖπας. ἔσται μέγα κακὸν πάλιν [τί σοι,
875.4 νὴ τὼ θεώ, 〈καὶ〉 μεῖζον ἢ νῦν εὖ πά[νυ.
875.5 Γε ἐγὼ προσελθὼν ὄψομαι δεῦρ[
879 αὐλεῖ.
880.1 τί μοι προσαυλεῖς, ἄθλι’ οὗτος; οὐδέπω σχολή [μοι.
880.2 πρὸς τὸν κακῶς ἔχοντα πέμπους’ ἐνθαδί μ’· ἐπίσ[χες.
880.3 Σιμ καὶ παρακαθήσθω γ’ εἰσιὼν αὐτῶι τις ἄλλος ὑμῶν.
880.4 ἐγὼ δ’ ἀποστέλλουσα τροφίμην βούλομαι λαλῆσαι
880.5 ταύτηι, προσειπεῖν, ἀσπάσασθαι.
884 (Γε) νοῦν ἔχεις· βάδιζε.
885.1 τοῦτον δὲ θεραπεύσω τέως ἐγώ. πάλαι δ[έδοκται
885.2 τ[ούτο]υ λαβεῖν τὸν καιρόν, ἀλλὰ διαπον[εῖν ἔδει με.
885.3 [ ]ετει καὶ τῶν β[
885.4 ο]ὔπω δυνησ[]ι, μάγειρε.
885.5 Σίκων, πρόελθε δεῦρό μοι [σὺ θᾶττο]ν. ὦ Πόσειδον,
890 οἵαν ἔχειν οἶμαι διατριβήν.
890 (Σικ) σύ με καλεῖς;
890.1 (Γε) ἔγωγε.
890.2 τιμωρίαν βούλει λαβεῖν ὧν ἀρτίως ἔπασχες;
890.3 (Σικ) ἐγὼ δ’ ἔπασχον ἀρτίως; οὐ λαικάσει φλυαρῶν;
890.4 (Γε) ὁ δύσκολος [γέρ]ων καθεύδει μόνος.
893.1 (Σικ) ἔχει δὲ 〈δὴ〉 πῶς;
893.2 [Γε] οὐ παντάπασιν ἀθλίως.
894 (Σικ) οὐκ ἂν δύναιτό γ’ ἡμᾶς
895 τύπτειν ἀναστάς;
895.1 (Γε) οὐδ’ ἀναστῆναι 〈γάρ〉, ὡς ἐγᾦιμαι.
895.2 (Σικ) ὡς ἡδὺ πρᾶγμά μοι λέγεις. αἰτήσομ’ εἰσιών τι·
895.3 ἔξω γὰρ ἔσται τῶν φρενῶν.
897.1 (Γε) 〈τί δ’ ἄν,〉 τὸ δεῖνα, πρῶτον
897.2 ἔξω προελκύσωμεν αὐτόν, εἶτα θέντες αὐτοῦ κόπτωμεν οὕτω τὰς θύρας, αἰτῶμεν, ἐπιφλέγωμεν; ἔσται τις ἡδονή, λέγω. (Σικ) τὸν Γοργίαν δέδοικα
897.3 μὴ καταλαβὼν ἡμᾶς καθαίρηι.
901.1 Γε θόρυβός ἐστιν ἔνδον,
901.2 πίνουσιν. οὐκ αἰσθήσετ’ οὐδείς. τὸ δ’ ὅλον ἐστὶν ἡμῖν
901.3 ἄνθρωπος ἡμερωτέος· κηδεύομεν γὰρ αὐτῶι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

901.4 οἰκεῖος ἡμῖν γίνετ’· εἰ δ’ ἔσται τοιοῦτος αἰεί,
905 ἔργον ὑπενεγκεῖν, πῶς γὰρ οὔ;
905.1 (Σικ) λαθεῖν μόνον ἐπιθύμει
905.2 αὐτὸν φέρων δεῦρ’ εἰς τὸ πρόσθεν.
906 〈Γε〉 πρόαγε δὴ σύ.
906.1 〈Σικ〉 μικρὸν
906.2 πρόσμεινον, ἱκετεύω σε· μή με καταλιπὼν ἀπέλθηις.
906.3 〈Γε〉 καὶ μὴ ψόφει, πρὸς τῶν θεῶν.
908.1 (Σικ) ἀλλ’ οὐ ψοφῶ μὰ τὴν Γῆν.
908.2 〈Γε〉 εἰς δεξιάν.
909 (Σικ) ἰδού.
909 〈Γε〉 θὲς αὐτοῦ. νῦν ὁ καιρός.
909 〈Σικ〉 εἶέν·
910.1 ἐγὼ προάξω πρότερος. ἤν. καὶ τὸν ῥυθμὸν σὺ τήρει.
910.2 〈παῖ〉, παιδίον, παῖδες 〈καλοί〉, παῖ, παιδία.
911.1 〈Κν〉 οἴχομ’, οἴμοι.
911.2 〈Σικ〉 παῖδες καλοί, παῖ, παιδίον, 〈παῖ〉, παῖδες.
912.1 〈Κν〉 οἴχομ’, οἴμοι.
912.2 〈Σικ〉 τίς οὗτος; ἐντεῦθέν τις εἶ;
913.1 (Κν) 〈δη〉λονότι. σὺ δὲ τί βούλει;
913.2 〈Σικ〉 λέβητας αἰτοῦμαι παρ’ ὑμῶν καὶ σκάφην.
914 (Κν) τίς ἄν με
915 στήσειεν ὀρθόν;
915.1 (Σικ) ἔστιν ὑμῖν, ἔστιν ὡς ἀληθῶς.
915.2 καὶ τρίποδας ἑπτὰ καὶ τραπέζας δώδεκ’· ἀλλά, παῖδες,
915.3 τοῖς ἔνδον 〈εἰσ〉αγγείλατε· σπεύδω γάρ.
917.1 (Κν) οὐδέν ἐστιν.
917.2 (Σικ) οὐκ ἔστιν;
918 (Κν) 〈ἀλλ’〉 ἀκήκοας μυριάκις.
918.1 (Σικ) ἀποτρέχω δή.
918.2 Κν ὢ δυστυχὴς ἐγώ. τίνα τρόπον ἐνθαδὶ προήχθην;
920 τίς μ’ εἰ]ς τὸ πρόσθεν κατατέθηκεν; ἄπαγε δὴ σύ.
920.1 〈Γε〉 καὶ δή.
920.2 παῖ, παι]δίον, γυναῖκες, ἄνδρες, παῖ θυρωρέ.
921.1 (Κν) μαίνει,
921.2 ἄνθρωπε· τὴν θύραν κατάξεις.
922.1 (Γε) δάπιδας ἐννέ’ ἡμῖν
922.2 χρήσα]τε.
923

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Κν) πόθεν;
923.1 (Γε) καὶ παραπέτασμα βαρβαρικὸν ὑφαντόν
923.2 [ ]ποδῶν τὸ μῆκος ἑκατόν.
924 (Κν) εἴθε μοι γένοιτο
925 [ πο]θεν. γραῦ. ποῦ ’στιν 〈ἡ〉 γραῦς;
925.1 (Γε) ἐφ’ ἑτέραν βαδίζω
925.2 θύραν;
926.1 (Κν) ἀπαλλάγητε δή. γραῦ. Σιμίχη. κακὸν δὲ
926.2 κακῶς 〈σ’〉 ἅπαντες ἀπολέσειαν οἱ θεοί. τί βούλει;
926.3 (Σικ) κρατῆρα βούλομαι λαβεῖν χαλκοῦν μέγαν.
928.1 (Κν) τίς ἄν με
928.2 στήσειεν ὀρθόν;
929 (Γε) ἔστιν ὑμῖν, ἔστιν ὡς ἀληθῶς
930 τὸ παραπέτασμα, παππία, πατρίδιον.
930.1 〈Κν〉 οὐδ’ ὁ κρατήρ.
930.2 τὴν Σιμίχην ἀποκτενῶ.
931.1 (Σικ) κάθου 〈σὺ〉 μη〈δὲ〉 γρύζων.
931.2 φεύγεις ὄχλον, μισεῖς γυναῖκας, οὐκ ἐᾶις κομίζειν
931.3 εἰς ταὐτὸ τοῖς θύουσι σαυτόν· πάντα ταῦτ’ ἀνέξει.
931.4 οὐδεὶς βοηθός σοι πάρεστιν. πρῖε σαυτὸν αὐτοῦ.
935.1 ἄκουε δ’ ἑξῆς πάντα γα[ ]...[ ]τισ[
935.2 [ ]αγκας οὐδὲ τὴν[ ]ι
935.3 [ ]ον αἱ γυναῖκες .[ ]παρ’ ὑμῶν.
935.4 [ γυν]αικὶ τῆι τε παιδὶ [περιβ]ολαὶ τὸ πρῶτον
935.5 [ φιλή]ματ’· οὐκ ἀηδὴς διατριβή τις αὐτῶν
940.1 [...]ρ[...] ἄνωθεν ηὐτρέπιζον συμπόσιον ἐγώ τι
940.2 τοῖς ἀνδράσιν· τούτοις—ἀκούεις; μὴ κάθευδε.
941.1 (Γε) μὴ γάρ.
941.2 〈Κν〉 οἴμοι.
942.1 (Σικ) 〈–〉 βούλει παρεῖναι; πρόσ[εχε] καὶ τὰ λοιπά.
942.2 σπονδὴ παρῆν· ἐστρώννυτο στιβὰς χαμαί· τραπέζας
942.3 ἔγωγε—τοῦτο γὰρ ποεῖν ἐμοὶ προσῆκ’—ἀκούεις;
945 μάγειρος ὢν γὰρ τυγχάνω, μέμνησο.
945.1 〈Γε〉 μαλακὸς ἁνήρ.
945.2 (Σικ) ἄλλος δὲ χερσὶν Εὔιον γέροντα πολιὸν ἤδη
945.3 ἔκλινε κοῖλον εἰς κύτος, μειγνύς τε νᾶμα Νυμφῶν
945.4 ἐδεξιοῦτ’ αὐτοῖς κύκλωι, καὶ ταῖς γυναιξὶν ἄλλος. ἦν δ’ ὡσπερεὶ ’ς ἄμμον φοροίης· ταῦτα μανθάνεις σύ; καί τις βραχεῖσα προσπόλων εὐήλικος προσώπου
945.5 ἄνθος κατεσκιασμένη χορεῖον εἰσέβαινε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

945.6 ῥυθμὸν μετ’ αἰσχύνης ὁμοῦ μέλλουσα 〈καὶ〉 τρέμουσα,
945.7 ἄλλη δὲ συγκαθῆπτε ταύτηι χεῖρα κἀχόρευεν.
945.8 (Γε) ὢ πρᾶγμα πάνδεινον παθών, χόρευε, συνεπίβαινε.
955 〈Κν〉 τί π〈ο〉τ’ ἔτι βούλεσθ’, ἄθλιοι;
955.1 (Γε) μᾶλλον 〈σὺ〉 συνεπίβαινε.
955.2 ἄγροικος εἶ.
956 〈Κν〉 μὴ πρὸς θεῶν.
956.1 〈Γε〉 οὐκοῦν φέρωμεν εἴσω
956.2 ἤδη σε;
957 〈Κν〉 τί ποήσω;
957 〈Γε〉 χόρευε δὴ σύ.
957.1 (Κν) φέρετε. κρεῖττον
957.2 ἴσως ὑπομένειν ἐστὶ τἀκεῖ.
958.1 (Γε) νοῦν ἔχεις. κρατοῦ〈μεν〉.
958.2 ὢ καλλίνικοι. παῖ Δόναξ, Σίκων σύ γε,
960.1 αἴρεσθε τοῦτον, εἰσφέρετε. φύλαττε δὴ
960.2 σεαυτόν, ὡς ἐάν σε παρακινοῦντά τι
960.3 λάβωμεν αὖτις, οὐδὲ μετρίως ἴσθ’ ὅτι
960.4 χρησόμεθά σοι τὸ τηνικάδ’. ἰώ, ἐκδότω
960.5 στεφάνους τις ἡμῖν, δᾶιδα. τουτονὶ λαβέ.
965.1 εἶἑν. συνησθέντες κατηγωνισμένοις
965.2 ἡμῖν τὸν ἐργώδη γέροντα, φιλοφρόνως
965.3 μειράκια, παῖδες, ἄνδρες, ἐπικροτήσατε.
965.4 ἡ δ’ εὐπάτειρα φιλόγελώς τε παρθένος Νίκη μεθ’ ἡμῶν εὐμενὴς ἕποιτ’ ἀεί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org